ΠΡΑΓΜΑΤΕΙΑ
ΠΕΡΙ ΣΙΤΟΥ ΚΑΙ ΟΨΟΥ
ΗΤΟΙ
ΠΕΡΙ ΤΡΟΦΗΣ
ΠΑΡΑ ΤΟΙΣ ΑΡΧΑΙΟΙΣ ΕΛΛΗΣΙ

ΜΕΤΑ ΤΙΝΩΝ ΣΥΓΚΡΙΣΕΩΝ ΠΡΟΣ ΤΑ ΠΑΡΑ ΤΟΙΣ ΝΥΝ.

ΥΠΟ

ΙΩΑΝΝΟΥ ΕΥΑΓΓΕΛΙΔΟΥ

Doktor Philosophie.

Joannes Evangelides

ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

„Ἐν δὲ γυνὴ ταμίη σῖτον καὶ οἶνον ἔθηκεν ὄψα τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες“.
Ὁμήρ. Ὀδυσσ. γ, 479.

„Ἐσθίουσι πάντες ἐπὶ τῷ σίτῳ ὄψον“.
Ξενοφ. Ἀπομν. 3, 14, 2.

Erlangen.

Druck der Universitäts-Buchdruckerei von E. Th. Jacob.

1890.

ΠΡΟΛΟΓΟΣ.

Οἱ ἀνεξάντλητοι θησαυροὶ τῶν ἀρχαίων Ἑλλήνων εὔπορον παρέχουσιν ὕλην οὐ μόνον πρὸς τοιοῦτον πονημάτιον, οἷον τὸ παρόν, ἀλλὰ καὶ πρὸς ὀγκώδεις συγγραφάς, οἵας σοφοὶ Γερμανοὶ συνέγραψαν καὶ συγγράφουσιν, εἰς τὸν τῶν ἀρχαίων Ἑλλήνων βίον ἀναφερομένας. Πρός τὴν σύνταξιν τῆς παρούσης εἰδικῆς περὶ σίτου καὶ ὄψου πραγματείας ἐρευνήσαντες τὰς παλαιὰς πηγάς, ὅσαι ἦσαν προσιταὶ ἡμῖν, ἠντλήσαμεν ἐντεῦθεν τὴν ἀναγκαίαν ὕλην, ἥν, δυνάμεθα μετὰ παρρησίας εἰπεῖν, πρωτοτύπως ἐπεξειργάσθημεν, κατὰ τὸ ἐνὸν ἡμῖν. Καὶ τὰς μὲν τῶν παλαιῶν πηγὰς βλέπει ὁ ἀναγνώστης ἐν τῷ οἰκείῳ τόπῳ μνημονευομένας μετὰ τῶν παραπομπῶν αὐτῶν, ἔνθα, ὅπου δεῖ, καὶ μαρτυρίαι κατάλληλοι πισταὶ εἰσάγονται συναρμοζόμεναι, κατὰ τὴν φανεῖσαν ἡμῖν κρείττονα ἐκλογήν. Τῶν δὲ νεωτέρων βοηθημάτων κυρίως ἐπωφελήθημεν τὸ πάντων τῶν τοῦ αὐτοῦ εἴδους συγγραμμάτων ὑπέροχον καὶ ἄριστον, τὸ νεώτατον σύγγραμμα τὸ ἀπὸ τοῦ 1887 *ἐκδιδόμενον*: Die griechischen Privataltertümer: *Αἱ Ἑλληνικαὶ Ἰδιωτικαὶ Ἀρχαιότητες, ἤτοι περὶ τοῦ Ἰδιωτικοῦ Βίου τῶν ἀρχαίων Ἑλλήνων, οὗ συγγραφεὺς ὑπάρχει ὁ ἐν τῷ ἐνταῦθα Πανεπιστημίῳ διαπρεπὴς Καθηγητὴς τῆς Κλασικῆς Φιλολογίας, δεινὸς δὲ Ἑλληνιστὴς καὶ ἔνθερμος φιλέλλην,* Doktor Iwan von Müller.

Πρὸς δὲ τούτοις ἐντὸς πάντοτε τοῦ προκειμένου σκοποῦ ἐπιφέρομεν καὶ συγκριτικάς τινας παρατηρήσεις τῆς ἀρχαίας πρὸς τὴν νέαν, μάλιστα τὴν δημώδη Ἑλληνικὴν γλῶσσαν, ὅπου πάντως νομίζομεν, ὅτι ἐκ τοιαύτης ἐρεύνης προκύπτει εἰς φῶς προσοχῆς καὶ σπουδῆς τι ἄξιον· διότι ἡ ζῶσα γλῶσσα τοῦ Ἑλληνικοῦ λαοῦ πανταχοῦ γῆς Ἑλληνικῆς καὶ νῦν ἔτι διασῴζει πάμπολλα κειμήλια τῆς ἀρχαίας ἐνδόξου αὐτῆς μητρὸς, τῆς ἀθανάτου ἐκείνης γλώσσης τῶν Ὀλυμπίων θεῶν, κειμήλια, ἅπερ ἀλώβητα ὑπὸ τοῦ πανδαμάτορος χρόνου καὶ ἀκέραια διαμένουσιν ἐς ἀεὶ ὡς αἰωνία διαμαρτύρησις κατὰ πάσης ξενικῆς πρὸς τὰ πάτρια τῶν Ἑλλήνων ἐπιβουλῆς.

Ἐν Ἐρλάγγεν, τῇ 4ῃ Ἰουνίου 1890.

Ἰωάννης Εὐαγγελίδης, Ὀλύμπιος,
Διδάκτωρ τῆς Φιλοσοφίας.

ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

ΠΕΡΙ ΣΙΤΟΥ Η ΑΡΤΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Διαίρεσις τῆς τροφῆς καὶ χαρακτηρισμὸς αὐτῆς.

Τὸ τοῦ Ξενοφῶντος „ἐσθίουσι πάντες ἐπὶ τῷ σίτῳ ὄψον“ παρέσχεν ἡμῖν τὴν ὑπόθεσιν τῆς προκειμένης πραγματείας. Ἡ ὑπὸ τὰ δύο περιληπτικώτατα ταῦτα ὀνόματα, σῖτος καὶ ὄψον, ἀνθρωπίνη τροφή, λαμβανομένη καὶ παρὰ τοῖς ἀρχαίοις ἔνθεν μὲν ἀπὸ τοῦ φυτικοῦ, ἔνθεν δ' ἀπὸ τοῦ ζωϊκοῦ βασιλείου, φύσει δὲ καὶ τέχνῃ διάφορος καὶ ποικίλη οὖσα, διῃρεῖτο ἄρα εἰς δύο κεφαλαιώδη μέρη, οὐσιωδῶς ἀπ' ἀλλήλων διαφέροντα. Τούτων δὲ τὸ μὲν περιλαμβάνει τὸν σῖτον ἢ ἄρτον, panem, *αὐτὴν τὴν στοιχειώδη, τὴν ἁπλῆν καὶ ἀναγκαίαν πρὸς συντήρησιν τοῦ ἀνθρώπου τροφήν, τὴν ἀπὸ ἀλφίτων καὶ ἀλεύρων γινομένην, ἣν ὁ ποιητὴς ᾄδων μυελὸν ἀνδρῶν ὀνομάζει, ἤτοι δύναμιν, δυνατήν, ἡρωϊκὴν τροφὴν ἀνδρῶν, οὕτως· „ἄλφιτα τεύχουσαι καὶ ἀλείατα, μυελὸν ἀνδρῶν“, Ὁμήρ. Ὀδ. υ,* 108, *β,* 290· *ὁ δὲ πολλοὺς αἰῶνας ὕστερον ἀκμάσας φιλόσοφος, ὁ Πλάτων, συνᾴδων τῷ ποιητῇ, γενναίαν ἐπίσης ταύτην τὴν τροφὴν ὀνομάζων, τρέφει διὰ ταύτης τοὺς πολίτας τῆς ἑαυτοῦ πολιτείας, ἐν ᾗ οὗτοι „ἐκ μὲν τῶν κριθῶν ἄλφιτα σκευάζονται, ἐκ δὲ τῶν πυρῶν ἄλευρα, τὰ μὲν πέψαντες, τὰ δὲ μάξαντες, μάζας γενναίους καὶ ἄρτους“, Πλάτ. πολ.*

2, σ. 372. Τὸ δ' ἕτερον μέρος περιλαμβάνει τροφὴν δευτερευόυσαν, συμπληρωτικὴν καὶ ἡδυντικὴν τῆς πρώτης, ἤτοι τοῦ ἄρτου, ἥπερ ἀντιθέτως πρὸς αὐτόν ἐστι σαρκώδης ὡς τὰ πολλὰ καὶ ὑγρά, λεπτοτέρα τροφή, cibus delicatus· ἀπὸ δὲ τοῦ ζωϊκοῦ βασιλείου κατὰ τὸ πλεῖστον αὕτη λαμβανομένη, ἀποτελεῖ βρῶμα, ἑφθὸν συνήθως ἢ ὀπτὸν παρεσκευασμένον, ὅπερ τῷ ἄρτῳ ἐπεσθιόμενον καλεῖται ὄψον· ἡ δὲ λέξις αὐτή, ὄψον, ἀπὸ τοῦ ἕψειν, coquere, σημαίνει ἕψημα, πᾶν ἑφθόν, ὀπτόν, coctum. ὡς „κρέας ὀπτόν", Ὀδ. π, 443· „ἑφθὰ καὶ ὀπτὰ" κρέα, Εὐρ. Κύκλ. 357· „ὄψον ὀπτόν", Ἀριστφ. ἱππ. 1102· „alles Gebratene, Gekochte oder Gesottene heisst ὄψον", griechische Privataltertümer, 441 d, 72, von Iw. Müller.

Κατὰ ταύτην τοίνυν τὴν παρὰ τοῖς ἀρχαίοις διάκρισιν τῆς τροφῆς διαιροῦντες καὶ ἡμεῖς εἰς δύο μέρη τὸ περὶ οὗ πραγματευόμεθα θέμα, ἐν μὲν τῷ πρώτῳ τὸν λόγον ποιούμεθα περὶ σίτου ἢ ἄρτου, ἐν δὲ τῷ δευτέρῳ περὶ ὄψου. Ἐπειδὴ δὲ ἐπὶ τῇ ἐδητύϊ ἢ ἐπὶ τῷ σίτῳ καὶ ὄψῳ καὶ πίνουσιν ἄνθρωποι, μηδὲ τῶν θεῶν αὐτῶν ἐξαιρουμένων, τρίτον μέρος τῆς παρούσης πραγματείας ἀποτελέσει βραδύτερον τὸ μέθυ ἢ τὸ ποτὸν παρὰ τοῖς ἀρχαίοις Ἕλλησι.

ΚΕΦΑΛΑΙΟΝ ΙΙ.

Δημήτριοι καρποί. Σιτηρά, ὄσπρια.

§ 1. Ἐξ ὅσων ἡ ζείδωρος γῆ φύει τε καὶ τρέφει οἱ τῆς ξανθῆς θεᾶς Δήμητρος καρποὶ ἢ τὰ Δημήτρια δῶρα, Cerealia munera, τὸν ἄρτον παρέχουσι πᾶσι βροτοῖς „οἵ ἀρούρης καρπὸν ἔδουσι". Εἰκὸς οὖν ἀπὸ τῶν θείων τούτων καρπῶν ἡμᾶς ἀρχομένους περὶ αὐτῶν πρῶτον εἰπεῖν.

§ 2. Πολλῶν ὄντων καὶ παντοδαπῶν τῶν Δημητρίων καρπῶν, διακριτέον ἐν αὐτοῖς τοὺς προέχοντας, τοὺς κατ' ἐξοχὴν Δημητρίους καρπούς, οὓς ἄνθρωποι τρώγουσι καὶ οὕσπερ πάντως Ὅμηρος ἐννοεῖ ᾄδων: „εἰ δέ τίς ἐσσι βροτῶν, οἳ ἀρούρης καρπὸν ἔδουσι", ἐν Ἰλ. Ζ, 142. Εἰσὶ δ' οὗτοι τῶν καρπῶν ἀρούρης ἐκεῖνοι, ἐξ ὧν ἄρτος γίνεται,

ἤτοι ὁ σῖτος καί τὰ τούτου διάφορα εἴδη, diversa frumenti genera. *Τούτων δὲ διαστέλλονται ἐν Γαληνῷ τὰ ὄσπρια,* legumina, *οὑτωσίν· „Ὄσπρια καλεῖσθαι τῶν Δημητρίων σπερμάτων ἐκεῖνα, ἐξ ὧν ἄρτος οὐ γίνεται, οἷον κυάμους, πισούς, ἐρεβίνθους, θέρμους, ὄρυζαν, λαθύρους, φακῆν, φασήλους, εἴ τι τοιοῦτον", Γαλην.* 1, 314, 14.

Κατά τινα ὅμως σημείωσιν παρ' Ἀθηναίῳ 3, *π.* 110, *μνημονεύεται ἄρτος ἐξ ὀρύζης: „ὀρίνδου δ' ἄρτου μέμνηται Σοφοκλῆς ἐν Τριπτολέμῳ, ἤτοι τοῦ ἐξ ὀρύζης γενομένου ἢ ἀπὸ τοῦ ἐν Αἰθιοπίᾳ γινομένου σπέρματος, ὅ ἐστιν ὅμοιον σησάμῳ". Ὁ δὲ Ἡσύχιος: „ὀρίνδην· ἄρτον παρὰ Αἰθίοψι· καὶ σπέρμα παραπλήσιον σησάμῳ, ὅπερ ἕψοντες σιτοῦνται. Τινὲς δὲ ὄρυζαν". Παρὰ δὲ Στράβωνι: „οἰνόν τε γὰρ οὐ πίνειν αὐτοὺς (τοὺς Ἰνδούς), ἀλλ' ἐν θυσίαις μόνον, πίνειν δ' ἀπ' ὀρύζης ἀντὶ κριθίνων συντιθέντας· καὶ σιτία δὲ τὸ πλέον ὄρυζαν εἶναι ῥοφητήν", Στράβ.* 15, 1, 53*).

§ 3. *Ἀλλὰ καὶ ἄλλως διαστέλλονται παρὰ τοῖς ἀρχαίοις οἱ καρποὶ οὗτοι καὶ τὰ φυτὰ αὐτῶν, οὕτως· οἱ μὲν ἐν στάχυσιν,* in spica, *αὐξανόμενοι καρποί, οἷα τὰ σιτηρά, καλοῦνται „σπέρματα ἐσταχυωμένα" — καὶ τὰ φυτά, ἅπερ σταχυοῦνται, „σταχυηρά, σταχυοτρόφα, σταχυοφόρα" ὡς καὶ αὐτὴ ἡ θεὰ Δημήτηρ „σταχυοπλόκαμος, σταχυοστέφανος"· τὰ δ' ὄσπρια οὐκ ἐν στάχυσιν, ἀλλ' ἐν λοβοῖς,* in siliqua, *φυόμενα καὶ αὐξανόμενα, καλοῦνται „ἔλλοβα", ὡς κατ' ἐξοχὴν οἱ φασήολοι, ἐσθιόμενοι ἄωροι, καὶ τὰ φυτὰ αὐτῶν ὡσαύτως „ἔλλοβα, ἐλλοβόκαρπα, ἐλλοβοσπέρματα", Θεοφρ. Ἱστορ. Φυτ. Πρὸς δὲ τούτοις καὶ αὐτὸς ὁ τῆς συγ-*

---

*) *Περὶ τῆς καλλιεργίας τῆς ὀρύζης ἐν τῇ Εὐρωπαϊκῇ Τουρκίᾳ (ἐν Φιλιππουπόλει) βραδύτερον ἐν τῷ* 16 *αἰῶνι μ. Χ. ἀναγινώσκομεν ἐν τῷ συγγράμματι* Vict. Hehn's Kulturpflanzen und Hausthiere, S. 412: in der europäischen Türkei sah Busbequius im 16. Jahrhundert Reisfelder bei Philippopel, epist. 1: fuimus Philippopoli, vidimus in locis palustribus et aquosis orizam instar tritici crescentem: *ἤτοι ἐγενόμεθα ἐν Φιλιππουπόλει, ἔλεγεν ὁ περιηγητὴς* Busbequius, *εἴδομεν ἐν τόποις ἑλώδεσι καὶ ὑδρώδεσιν ὄρυζαν ἐν εἴδει πυροῦ αὐξανομένην.*

κομιδῆς τῶν καρπῶν τούτων τρόπος διαφέρει ἐν πολλοῖς. Τινὰ δὲ τῶν ὀσπρίων συλλέγονται δρεπόμενα, ὡς δηλοῖ καὶ τὸ ἕτερον ὄνομα αὐτῶν „χέδροπα“ (ἐνν. σπέρματα) καὶ „χέδροπες“ (καρποί), ἤτοι τὰ χειρὶ δρεπόμενα ὄσπρια· δι' ὅπερ καὶ λατινιστὶ κατ' ἐξοχὴν λέγονται τὰ ὄσπρια legumina, ἀπὸ τοῦ lego, λέγω, συλλέγω.

§ 4. Ἐν τοῖς Δημητρίοις καρποῖς, ἐξ ὧν ἄρτος γίνεται, ὁ σῖτος ἢ πυρὸς τὴν ἡγεμονίαν ἔχει καὶ τιμᾶται ὡς τὸ μάλιστα ἔξοχον δῶρον τῆς Ἁλῳάδος Δήμητρος, καὶ μετ' αὐτὸν ἡ κριθή, ἀμφότερα θεῖα ὄντως δῶρα βροτοῖς. Ὅθεν καὶ περὶ αὐτῶν συνηθέστερον γίνεται λόγος· ὡς παρ' Ὁμήρῳ „μήλωψ καρπός“· „καρπὸν . . . ξανθὴ Δημήτηρ κρίνει“· „μελιηδέα πυρόν“· „ἀρούρης καρπός“· „σῖτον ἔδοντες, σιτοφάγοι“ ἄνθρωποι· „πυροὶ καὶ κριθαί“· „εὐρυφυὲς κρῖ λευκόν“· Ἀριστοφ. πλ. 515 „Δηοῦς καρποί“· παρὰ δὲ τοῖς πεζοῖς, ἐν Πλάτ. Μενεξ. 238 „ὁ τῶν πυρῶν καὶ κριθῶν καρπός“· „Δήμητρος καρποί“, Ξενοφ. Ἑλλην. 6, 3, 6, καὶ ἐν Θουκ. 2, 19 „σίτου ἀκμάζοντος“· „σίτου συγκομιδῆς οὔσης“, Ξενοφ. Ἑλλ. 7, 5, 14, καὶ μυρία τοιαῦτα. Μεταγενέστερον δὲ Δημήτριοι καὶ Δημητριακοὶ καρποί, ὡς νῦν, λέγονται ἅπαντα τὰ σιτηρὰ εἴδη, ἅπερ ὁ μὲν Στράβων καὶ σιτικοὺς καρποὺς ὀνομάζει, ὁ δὲ Θεόφραστος, ὡς τὰ νῦν ἐν τῇ συνηθείᾳ ὀνομάζονται, καλεῖ τοὺς σιτικοὺς ἢ Δημητριακοὺς καρποὺς καὶ σιτηρά, ἤτοι diversa frumenti genera, die Getreidesorten.

Ἄξιον δὲ παρατηρήσεως ἐνταῦθα, ὅτι ἡ δημώδης Ἑλληνὶς φωνὴ τὰ νῦν ὀνομάζει γεννήματα μὲν κατ' ἐξοχήν, τοῦτ' ἔστιν ἐκ γῆς γεγεννημένους καρπούς, γῆς βλαστήματα, τὰ σιτηρὰ ἰδίως· σπαρτὰ δέ, sementes, τὰ ἐν τῷ ἀγρῷ, ἐν τῇ ἀρούρῃ ἐσπαρμένα καὶ ἐκβλαστόντα σιτηρά, περιληπτικώτερον, τὸ λήϊον, sementis, ἐν ὅσῳ τὰ σιτηρὰ ἐν τῷ ἀγρῷ ἔτι αὐξάνονται καὶ μεστοῦνται οἱ καρποὶ ἐν στάχυσιν ἄχρι τοῦ ἀμήτου. Ἀμφότεραι δὲ αἱ ἐκφράσεις αὗται τοῦ λαοῦ, γεννήματα καὶ σπαρτά, εἰσὶ κάλλισται καὶ ἀρχαϊκαί, ἔτι δὲ καὶ ποιητικώταται, ὥςπερ παρὰ τοῖς ἀρχαίοις ποιηταῖς καὶ ἄνδρες καλοῦνται γεννήματα καὶ σπαρτοί, οἱ Θηβαῖοι, ὡς ἀπόγονοι ἀνδρῶν σπαρτῶν,

ἐκφυέντων ἐκ τῶν ὑπὸ τοῦ Κάδμου σπαρέντων ὀδόντων τοῦ δράκοντος, καὶ „σπαρτῶν γένος“ ἀνδρῶν, Αἰσχύλ. Εὐμ. 410, καὶ οἱ Φαρισαῖοι „γεννήματα ἐχιδνῶν“, Ματθ. γ', 7. Σημειωτέον δ' ἐνταῦθα, ὡς ἔμπροσθεν εἴπομεν, ὅτι ποιούμεθα καὶ ἐν τοῖς ἑξῆς τοιαύτας συγκριτικὰς παρατηρήσεις τῆς ἀρχαίας πρὸς τὴν νέαν καὶ δημώδη Ἑλληνίδα φωνήν, ἐντὸς πάντοτε τοῦ προκειμένου γινομένας, ὅπου πάντως νομίζομεν, ὅτι ἐκ τοιαύτης ἐρεύνης προκύπτει εἰς φῶς προσοχῆς καὶ σπουδῆς τι ἄξιον· παρέχει δὲ πρὸς τοιαύτην ζήτησιν εὐρὺ πεδίον ἡ δημώδης τοῦ Ἑλληνικοῦ φωνή, ἐν ᾗ ἀναλλοίωτα ἔτι ὑπὸ τοῦ χρόνου πάμπολλα κειμήλια τῆς πατρίου γλώσσης σῴζονται ἀκέραια, ὡς αἰωνία διαμαρτύρησις κατὰ πάσης ξενικῆς πρὸς τὸ Ἑλληνικὸν προσβολῆς.

§ 5. Ἐπὶ δὲ τὸ προκείμενον ἐρχόμενοι ἐκ τῆς μικρᾶς ταύτης παρεμβολῆς, ἐπιλέγομεν, ὅτι πρὸς τὰ νῦν σπαρτὰ ἀντιστοιχεῖ τὸ παλαιὸν ληΐον, sementis, δι' οὗ ἐπίσης καλεῖται παρὰ τοῖς ἀρχαίοις περιληπτιπτικῶς ἡ ἄρουρα ἅμα αὐτῇ, arvum, καὶ τὰ ἐν αὐτῇ ἐσπαρμένα σιτηρά, κατ' ἐξοχὴν δὲ ὁ σῖτος „ληΐον σίτου“, Cereris herbae, ὁπότε, ἐκ βλαστόντα καὶ καλύπτοντα πυκνὰ ἐν στάχυσι τὰς ἀρούρας φρισσούσας, ἀθέριστα αὐξάνονται ἔτι, „ἀσταχύεσσι φρίσσοντα“ καὶ βαθέα λήϊα, „φρίσσει δὲ κάρπιμος στάχυς“ ἐν αὐτοῖς, ὡς εἰκονίζονται συνήθως ὑπὸ τῶν ποιητῶν τὰ λήϊα καλυπτόμενα ὑπὸ πυκνῶν καὶ ἀκμαζόντων σπαρτῶν σιτηρῶν. Πλήρη τοιούτου ληΐου εἰκόνα βλέπομεν ἐν Ὁμ. Ἰλ. Ψ, 598:

. . . . . . „Τοῖο δὲ θυμὸς
ἰάνθη, ὡσεί τε περὶ σταχύεσσιν ἐέρση
ληΐου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι,
ὣς ἄρα σοί, Μενέλαε, μετὰ φρεσὶ θυμὸς ἰάνθη“·

ἐν δὲ Ἰλ. Β, 147 ἡ παρὰ τὰ πλοῖα θορυβωδῶς κινηθεῖσα ἐκκλησία τῶν Ἑλλήνων παραβάλλεται πρὸς λήϊον βαθύ, ὑπὸ ὁρμητικοῦ ἀνέμου κινηθέν, οὑτωσίν:

„Ὡς δ' ὅτε κινήσῃ Ζέφυρος βαθὺ λήϊον ἐλθών,
λάβρος ἐπαιγίζων, ἐπί τ' ἠμύει ἀσταχύεσσιν,
ὣς τῶν πᾶσ' ἀγορὴ κινήθη.“

§ 6. *Καταλέγομεν τοίνυν τῶν δημητρίων καρπῶν ἐκείνους, ἐξ ὧν ἄρτος γίνεται, τὸν σῖτον καὶ τὰ τούτου εἴδη, ἤτοι τὰ παρὰ τοῖς ἀρχαίοις σιτηρά. Εἰπέ, ποιητά, καὶ ἡμῖν εὐρέα πεδία, ἐν οἷς πολλοὶ καὶ καλοὶ οἱ τῆς Ἀλῳάδος Δήμητρος καρποὶ ὑπάρχουσι, πυροὶ καὶ κριθαὶ πρῶτον, θεῖα γεννήματα·*

. . . . . . „σὺ γὰρ πεδίοιο ἀνάσσεις
εὐρέος, ᾧ ἔνι μὲν λωτὸς πολύς, ἐν δὲ κύπειρον
πυροί τε ζειαί τε ἠδ' εὐρυφυὲς κρῖ λευκόν“,

Ὀδ. δ, 602. — *Ὁ σῖτος,* frumentum· *ὁ αὐτὸς καλεῖται καὶ πυρός, συνήθ. πυροί,* triticum, *τοῦτ' ἔστι πυροειδής· ὡσαύτως καὶ μ ή λ ω ψ κ α ρ π ὸ ς παρ' Ὁμήρῳ, ἤτοι μηλοειδής,* colore malum referens *καρπός, ὁ σῖτος, καὶ μ ε λ ι η δ ὴ ς π υ ρ ό ς, Ἰλ. Κ,* 569, *κατὰ τὴν γεῦσιν. Ἡ κριθή, συνήθ. κριθαί,* hordeum, *παρ' Ὁμήρ. περιληπτ. καὶ κ ρ ῖ: „εὐρυφυὲς κρῖ λευκόν“. Συνηθέστατα παρὰ τοῖς ἀρχαίοις ἀπαντῶσι συνημμένα „πυροὶ καὶ κριθαί“, ἢ ὡς παρὰ Πλάτωνι „ὁ τῶν πυρῶν καὶ κριθῶν καρπός“, ἅπερ καὶ νῦν ἐπίσης συνάπτονται, σῖτος καὶ κριθή, ἤ, ὅπερ ταὐτόν ἐστι, σιτάρι(ον) καὶ κριθάρι(ον) οὐδετ. κατὰ τὸ ἰδίωμα τῆς δημώδους φωνῆς τοῦ χρῆσθαι οὕτως ὑποκοριστικῶς πλείστοις τῶν ὀνομάτων ἄνευ ἐλαττωτικῆς ἐννοίας, ὑποκοριζούσης δ' ἐκ δευτέρου αὐτὰ πρὸς δήλωσιν τοῦ ἐλάττονος· οἷον, κριθή-κριθάρι-κριθαράκι, σῖτος-σιτάρι-σιταράκι, χόρτος-χορτάρι-χορταράκι, καὶ μυρία τοιαῦτα. Περὶ δὲ ἑκατέρου τοῦ εἴδους τούτων ποιούμενοι κατωτέρω ἱκανὸν λόγον, παρατίθεμεν πρὸς τούτοις χωρίον Ὁμηρικόν, ἐν ᾧ ᾄδονται ὑπὸ τοῦ ποιητοῦ ἄ σ π α ρ τ α καὶ ἀ ν ή ρ ο τ α σῖτος καὶ κριθή, ἤτοι αὐτόματα φυόμενα, Ὀδ. ι,* 106:

„Κυκλώπων δ' ἐς γαῖαν ὑπερφιάλων, ἀθεμίστων
ἱκόμεθ', οἵ ῥα θεοῖσι πεποιθότες ἀθανάτοισιν,
οὔτε φυτεύουσιν χερσὶν φυτὸν οὔτ' ἀρόωσιν,
ἀλλὰ τά γ' ἄ σ π α ρ τ α καὶ ἀ ν ή ρ ο τ α πάντα φύονται,
πυροὶ καὶ κριθαὶ ἠδ' ἄμπελοι, αἵτε φέρουσιν
οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει.“

§ 7. *Τὰ δὲ λοιπὰ εἴδη τοῦ σίτου τὰ παρὰ τοῖς ἀρχαίοις γνώριμα εἰσίν· ἡ ζειά, ζειαί, ἢ ζέα, Ὀδ. δ,* 604, far,

spelta, *νῦν ἀσπρόσιτον. ἡ ὄλυρα, ὄλυραι, „τὰς ζειὰς μετεξέτεροι καλέουσι“, Ἡρ.* 2, 36, spelta, far. *ἡ τίφη, συγχεομένη τῇ ὀλύρᾳ, Ἀριστοτ. Ἱ. Ζ.* 8, 21. *ὁ κέγχρος, Ἡρ.* 4, 17. *ἡ μελίνη, κεγχροειδής,* panicum miliaceum, *Ξενοφ. Ἀνάβ.* 6, 2, 6. *ὁ ἔλυμος,* panicum, *Ἱπποκρ., Πολυβ.* 2, 15, 2. *ὁ βρόμος,* avena, *Θεόφρ., καὶ βόρμος, Ησύχ., νῦν ἡ βρόμη ἢ τὸ βρόμι. τέλος ἡ βρίζα, Γαλην.,* secale, *γερμ.* Roggen, *συνήθης ἐν Θράκῃ καὶ Μακεδονίᾳ, νῦν ἐπίσης βρίζα καὶ σήκαλη ἐκ τοῦ λατιν.* secale *). *Παρατηρητέον δὲ πρὸς τούτοις,*

---

*) ***Περὶ τοῦ νῦν γνωριμωτάτου καὶ κοινοτάτου πυροῦ, τοῦ παρ' ἡμῖν νῦν ἀραβοσίτου, καλαμποῦρι, καλαμποῦκι, καλαμπόκι λεγομένου, παρέχομεν ἰδίως τῷ Ἕλληνι ἀναγνώστῃ τὰς ἑξῆς μάλιστα ἐνδιαφερούσας ἱστορικὰς εἰδήσεις, λαβόντες ταύτας ἐκ τοῦ σπουδαιοτάτου γερμανικοῦ συγγράμματος, ἐκδοθ.*** 1883 ***ἐν Βερολ., περὶ καλλιεργίας φυτῶν καὶ κατοικιδίων ζώων:*** von Victor Hehn Kulturpflanzen und Hausthiere:

Πρὸς τοῖς ἄλλοις ἓν ἔτι σπουδαιότερον ἀντίδωρον ἔδωκε τῷ παλαιῷ Κόσμῳ ἡ Ἀμερικὴ διὰ τοῦ Mais, zea Maïs, ***ἀραβοσίτου, ὁ ὁποῖος τώρα μέγα μέρος τῆς μεσημβρινῆς Εὐρώπης καὶ τῆς Ἀνατολῆς τρέφει καὶ μέχρι τῆς Κίνας καὶ τῆς Ἰαπωνίας καὶ τῆς βαθυτάτης καρδίας τῆς Ἀφρικῆς ἐν τῇ φυλῇ τῶν Μαύρων (Νέγρων), οἱ ὁποῖοι οὐδέποτε εἶδον Εὐρωπαῖον, εἰσεχώρησεν. Ὁ Κολόμβος ἐλθὼν πρῶτον εὗρε τ' σπέρμα τοῦτο ἐν τῇ Ἱσπανιόλᾳ*** (Hispaniola), ***καὶ ἤδη ἔκτοτε ἐκαλλιεργεῖτο δι' ὅλης τῆς Ἀμερικῆς, καθ' ὅσον ἡ γεωργία ἐξηπλοῦτο καὶ τὸ κλίμα τὸ ἐπέτρεπεν. Ἀπὸ τῶν ἀρχῶν τοῦ*** 16 ***αἰῶνος σπέρματα τοῦ φυτοῦ τούτου εἰς Ἱσπανικούς, Ἰταλικούς, ὡς καὶ εἰς Γαλλικούς, Γερμανικοὺς καὶ Ἀγγλικοὺς κήπους ἐφυτεύθησαν, καὶ τὸ φυτὸν ταχέως ἐν ἀφθονίᾳ μετέβη εἰς τοὺς ἀγρούς. Οἱ Βενετοὶ διέδοσαν αὐτὸ εἰς τὴν Ἀνατολήν· ἐγκατέστη ἐν τῇ Τουρκίᾳ ὑπὸ τὸ ὄνομα*** Kukuruz, ***κούκουρουτζ, ἐν ταῖς χώραις τοῦ Δουνάβεως, ἐν Οὐγγαρίᾳ, καὶ ἐγένετο καὶ ἐκεῖ προσφιλὴς τροφή (ὡς π. χ. ἡ μαμαλίγκα,*** Mamaliga, ***παρὰ τοῖς Βλάχοις, πρὸς τῇ ὁποίᾳ ἡ ἀπὸ τὰ δαμάσκηνα ῥακὴ ἡ ὀνομαζομένη τσίουκα*** Tschuka, ***εἶναι ἀπαραίτητος)· εἰς τὴν Γερμανίαν ἦλθεν ἐκ τῆς Ἰταλίας ὡς Τουρκικὸς ἢ Βαλχικὸς σῖτος,*** Türkischer Weizen oder Wälschkorn. ***„Ἡ ἡμετέρα Γερμανία, ἔλεγεν ὁ Ἱερώνυμος*** Bock ***ἐν τῇ Βοτανικῇ αὐτοῦ,*** New Kreüterbuch. Strasburg 1539, fol. 2, 21, ***ἐντὸς ολίγου κληθήσεται Εὐδαίμων Ἀραβία, διότι τόσα πολλὰ ξένα φυτὰ εἰς τὸ ἔδαφος ἡμῶν ἀπὸ ἡμέρας εἰς ἡμέραν ἐγκλιματίζομεν ἐκ ξένων χωρῶν, ἐν οἷς τό μέγα Βαλχικὸν σπέρμα (τὸ καλαμποῦκι) δὲν***

ὅτι καὶ *χόνδρος*, far, παρὰ τοῖς ἀρχαίοις καλεῖται πᾶν εἶδος σίτου, ἐξ οὗ ἰδίως ἐγίνετο ὁ *χόνδρος*, Graupenbrei, ἐκ ζειῶν ἢ σίτου, οἷον τὸ Ῥωϊκὸν far, τὸ φάρ, καὶ ἡ alica, πρβλ. Ἀθήν. 3, 127.

§ 8. Τῶν μνημονευθέντων ἀνωτέρω Δημητρίων καρπῶν ἀπαντῶσι παρ' Ὁμήρῳ ὁ σῖτος, ἡ κριθή, ἡ ζειὰ ἢ ζέα, καὶ ἡ ὄλυρα· ἡ δὲ τίφη πολλάκις λαμβάνεται ἀδιακρίτως ἀντὶ τῆς ὀλύρας, συγχεομένης πρὸς τὴν ζειάν. Ἡ κριθή, ἡ ζέα, ἡ ὄλυρα ἢ τίφη κοινῶς φέρονται καὶ ὡς φορβὴ ἢ τροφὴ ἵππων καὶ ἄλλων κατοικιδίων ζῴων: „ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας“, Ἰλ. *Θ*, 564, *Ε*, 196· σπανίως δὲ καὶ οὐ κοινῶς ὁ σῖτος φέρεται ὡς ἵππων τροφή, ὡς ἐν Ἰλ. *Κ*, 569:

„φάτνῃ ἐφ' ἱππείῃ, ὅθι περ Διομήδεος ἵπποι
ἕστασαν ὠκύποδες μελιηδέα πυρὸν ἔδοντες,“

εἶναι το ἐλάχιστον“. Ἐν τῇ Βορείῳ Ἰταλίᾳ εἶναι τώρα, ἡ *πολέντα*, ἤτοι ὁ πόλτος ἐξ ἀραβοσίτου, Maisbrei, (ὡς ἐν Ἀνατολῇ ἡ *ποπότα*) τὸ σύνηθες φαγητὸν τοῦ χωρικοῦ, ἡ δὲ καλλιεργία τοῦ ἀραβοσίτου, Maïs, ἰδίως εἰς τὰς εὐφόρους πεδιάδας τῆς Βορείου Ἰταλίας ἁμιλλᾶται πρὸς τὴν τοῦ σίτου. Ἂν καὶ ὁ σῖτος εἶναι εὐγενέστερος καρπὸς καὶ παρέχει λεπτότερον ἄλευρον, ὡς καὶ τροφὴν ὑγιεινοτέραν, ὑστερεῖ ὅμως τοῦ ἀραβοσίτου κατὰ τὴν γονιμότηται, ἕνεκα τοῦ ὁποίου καὶ ἠναγκάσθη νὰ ὑποχωρήσῃ βῆμα πρὸς βῆμα εἰς τὸ καλαμποῦκι καὶ ἀποχωρήσῃ ἀπὸ ἀρίστης γῆς. — Περὶ δὲ τῆς λέξεως *καλαμποῦκι* παρατηροῦμεν, ὅτι αὕτη ἐσχηματίσθη προφανῶς ἐκ τοῦ *καλαμόπυρος*, συνθέτου ἐκ τοῦ *καλάμη*, ὅ ἐστιν ὁ καυλὸς τῶν σιτηρῶν, ἐφ' οὗ ἐπὶ τῆς κορυφῆς ἐκφύονται οἱ στάχυες, καὶ *πυρός*, σῖτος. Ἔχει δὲ τὸ φυτὸν τὸν καρπὸν περὶ τὸν μακρὸν πυρῆνα (κουκκοῦτσι) καὶ οὐκ ἐν στάχυσιν, ὡς γνωστόν, τὴν δὲ καλάμην παχυτέραν καὶ ὑψηλοτέραν ὑπὲρ πάντα τὰ σιτικὰ γεννήματα· ὅθεν καὶ *καλαμόπυρος*, ἐξ οὗ κατὰ τὴν συνήθειαν ἐσχηματίσθη τό, *καλαμποῦκι*, οὑτωσίν· ἐκ συγκοπ. καλάμπυρος, καλαμπούρι(ον) τροπῇ τοῦ υ εἰς ου, καὶ τέλος καλαμποῦκι καὶ καλαμπόκι. Κατὰ ταῦτα ἡμεῖς προτιμῶμεν τοῦ ἀραβοσίτου τὸ ἕτερον ὄνομα, *καλαμόπυρος*, καλαμποῦρι ἢ καλαμποῦκι, ὅπερ καὶ μεθ' ὅλην τὴν γλωσσικὴν ἀλλοίωσιν μένει πάλιν ἑλληνικώτερον ἢ τὸ ἡμίξενον *ἀραπόσιτος* ἢ ἀράβιος πυρός, διότι καὶ οὐκ *Ἄραψ* οὐδὲ *Αἰγύπτιος*, ἀλλ' *Ἀμερικανός* ἐστιν ὁ καλαμόπυρος.

ἔνθα πρόκειται περὶ βασιλικῶν ἵππων, τῶν τοῦ βασιλέως τοῦ Ἄργους Διομήδους· καὶ ἐν τοῖς μεγάροις Ὀδυσσέως ὡσαύτως εὑρίσκομεν ἐείκοσι χῆνας „πυρὸν ἐρεπτομένους παρὰ πύελον", Ὀδ. τ, 553. Σημειωτέον δὲ ἐνταῦθα καὶ δύο εἴδη ἀγρίου σίτου, τὴν αἶραν καὶ τὸν αἰγίλωπα, ἀμφότερα ζιζάνια, lolia. Ἡ αἶρα, ἡ νῦν κοινῶς ἦρα, „σπέρμα σιτῶδές ἐστιν, ἐκ παραφθορᾶς τοῦ τοῦ σίτου γινόμενον", κατὰ Ἐτυμ. Μ.· ἐν δὲ Γεωπον. 2, 43: „τὸ ζιζάνιον τὸ λεγόμενον αἶρα φθείρει τὸν σῖτον, ἄρτοις δὲ μιγνυμένη σκοτεῖ τοὺς ἐσθίοντας"· καὶ ἐν Θεοφρ. Ἱ. Φ. 8, 4, 4. Ὁ δὲ αἰγίλωψ ὡς ἡ αἶρά ἐστι, Θεοφρ. Αἰτ. Φυτ. 5, 15, 5. Ζιζάνιον δὲ ἐν γένει χόρτον ἀχρεῖόν ἐστιν, ἄσπαρτον συμπαραφυόμενον τῷ σίτῳ καὶ παρεδρεῦον καὶ συναυξανόμενον παράσιτον*).

---

*) Τὸ ζιζάνιον, lolium, das unkraut, λέγεται καὶ μεταφορ. ὑπὸ τῶν Ἐκκλησιαστικῶν, ὡς ἐν Ἰω. Χρυσ. 12, 420, καὶ ὑπὸ τῆς νῦν συνηθείας περὶ ἀνθρώπων διαβόλων καὶ πονηρῶν ἢ υἱῶν τοῦ πονηροῦ, ἐμφυομένων ὅπου οὐ σπείρονται, ὡς τὰ ἀχρεῖα χόρτα, καὶ σκάνδαλα ποιούντων. Τὴν μεταφορικὴν ταύτην σημασίαν τῶν ζιζανίων κάλλιστα διδάσκει ἡ ἐν τῷ Ἱερῷ Εὐαγγελίῳ παραβολὴ τῶν ζιζανίων τοῦ ἀγροῦ, ἣν παρατίθεμεν ὧδε χάριν ἰδίως Ἑλλήνων ἀναγνωστῶν, ἵνα μὴ παραπέμψωμεν αὐτοὺς εἰς τὴν Καινὴν Διαθήκην.

„Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ. ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν. Ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια. Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ, Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν ἔχει τὰ ζιζάνια; Ὁ δὲ ἔφη αὐτοῖς· Ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν. Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ· Θέλεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά; Ὁ δὲ ἔφη· Οὔ· μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. Ἄφετε συναυξάνεσθε ἀμφότερα μέχρι τοῦ θερισμοῦ· καὶ ἐν τῷ καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς· Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ κατακαῦσαι αὐτά· τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου," Εὐαγγ Ματθ. ιγ', 24.

Ἐπειδὴ δὲ ὁ ἀναγνώστης ζητῶν τὴν ἐξήγησιν, λέγει ὡς οἱ μακάριοι μαθηταὶ πρὸς τὸν Καθηγητὴν αὐτῶν, „Φράσον ἡμῖν τὴν παρα-

§ 9. *Τῶν καρπῶν τούτων, οὓς ἡ ζείδωρος ἄρουρα φέρει, δύο ἦσαν καὶ παρὰ τοῖς παλαιοῖς τὰ σπουδαιότατα καὶ πρώτιστα τοῦ ζῆν στοιχεῖα, ὁ σῖτος καὶ ἡ κριθή. Ἡ κριθή, τὰ δευτερεῖα μετὰ τὸν σῖτον ἔχουσα, τὰ πρεσβεῖα φέρει, ὅτι πρὸ αὐτοῦ γνωστὴ τοῖς παλαιοῖς ἦν, κτησαμένη παρ' αὐτοῖς καὶ ἱερὰν σημασίαν ὡς γέννημα ἁρμοδιώταταν πρὸς τὰς ἱερὰς θυσίας. Ὑπὸ τὴν ἀρχαιοτάτην προσηγορίαν οὐλαὶ κριθαὶ ἢ οὐλαί, καὶ οὐλόχυται παρ' Ὁμήρῳ, ἐχρῶντο τῇ κριθῇ ἐν ταῖς ἱεραῖς θυσίαις οἱ Ἕλληνες, ὡς καὶ οἱ Ῥωμαῖοι τῇ ἐκ κριθῶν ἱερᾷ* mola salsa, *ταὐτοσήμῳ ταῖς οὐλαῖς τῶν Ἑλλήνων· δηλοῦσι δὲ τοῦτο καὶ αὐταὶ αἱ λέξεις· κατὰ* Buttmann, *οὐλαί, αἰτ. ὀλαί, ἐγένετο ἐκ τοῦ ἀλέω ἢ ἔλω, ὡς καὶ* mola *ἐκ τοῦ* molo = *ἀλέω, νῦν ἀλέθω, γερμαν.* mahlen, malmen, Malz· *ὅθεν οὐλαὶ κριθαὶ καὶ* mola *εἰσὶ κριθαὶ ἐρηριγμέναι, χονδρῶδες ἄλεσμα κριθῶν πρὸς θυσίαν, οὐλόχυται. Καὶ τοιαύτη μὲν ἡ ἱερὰ σημασία τῆς κριθῆς ἐν ὀλίγοις· περὶ δὲ τῆς ἀπ' αὐτῆς τροφῆς διαλαμβάνοντες διὰ μακρῶν κατωτέρω, λέγομεν ὀλίγα ἐνταῦθα περὶ ἑτέρας τινὸς χρήσεως αὐτῆς. Ὑπὸ τῶν παλαιῶν ἐσκευάζετο ἐκ κριθῶν εἶδός τι οἴνου ἢ ζύθου,* Bier, *ὡς παρ' Αἰγυπτίοις: „οἴνῳ δ' ἐκ κριθέων πεποιημένῳ διαχρέωνται· οὐ γάρ σφι εἰσιν ἐν τῇ χώρῃ ἄμπελοι", Ἡροδ.* 2, 77. *Παρ' Αἰσχύλῳ, ἐν Ἱκέτ.* 953, *ὁ*

βολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ", ἰδοὺ αὕτη. „Ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου· ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος· τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας· τὰ δὲ ζιζάνιά εἰσιν οἱ υἱοὶ τοῦ πονηροῦ· ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτά ἐστιν ὁ διάβολος· ὁ δὲ θερισμὸς συντέλεια τοῦ αἰῶνός ἐστιν· οἱ δὲ θερισταὶ ἄγγελοί εἰσιν. Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ κατακαίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου. Ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω", Ματθ. ιγ', 37.

βασιλεὺς τοῦ Ἄργους τῷ ἐξ Αἰγύπτου ἐλθόντι Δαναῷ προσεῖπεν:

„Ἀλλ' ἄρσενάς τοι τῆςδε γῆς οἰκήτορας
εὑρήσετ' οὐ πίνοντας ἐκ κριθῶν μέθυ“.

Παρὰ Θεοφρ. Αἰτ. Φυτ. 6, 11, 2: *„οἷον ὡς οἱ τοὺς οἴνους ποιοῦντες ἐκ τῶν κριθῶν καὶ τῶν πυρῶν καὶ τὸ ἐν Αἰγύπτῳ καλούμενον ζῦθος“. Ὡσαύτως μνημονεύεται καὶ παρὰ Στράβ.* 17, 1, 14, *καὶ Διοδώρῳ* 1, 34, *ζῦθος ὑπὸ τῶν Αἰγυπτίων παραγόμενον ἐκ κριθῶν. Ὁ δὲ Ξενοφῶν ἐν Ἀναβάσει* 4. 5, 26 *διηγεῖται λεπτομερῶς ὡς αὐτόπτης μάρτυς περὶ κριθίνου οἴνου,* Gerstenwein, *ἐν Φρυξὶ καὶ ἐν Χάλυψι. Πρὸς τούτοις σημειωτέον καὶ τὸ βρῦτον, τοῖς ἐν Θράκῃ καὶ Φρυγίᾳ λαοῖς συνήθης οἶνος, ἀπὸ κριθῶν γινόμενος, ὡς καὶ βρῦτον ἕτερον ἐκ ῥιζῶν καὶ καρπῶν, καὶ παραβίη, οἶνος ἐκ κέγχρων καὶ ῥιζῶν κονύζης,* (700 *π. Χ.*), *περὶ ὧν Ἀθήν.* 10, *π.* 447, *ἔνθα παρ' Ἀρχιλόχῳ ἐν ἀποσπ.* 5, *Φρύγες καὶ Θρᾷκες φαίνονται βρῦτον πίνοντες:*

„ὥςπερ παρ' αὐλῷ βρῦτον ἢ Θρῆϊξ ἀνὴρ
ἢ Φρὺξ ἔβρυζε (ἔπινε)· κύβδα δ' ἦν πονευμένη“.

§ 10. *Παρὰ τοῖς Κελτοῖς ἰδίως κατὰ τὴν μέσην Γαλλίαν ἐπὶ τῶν χρόνων τοῦ Ποσειδωνίου* (100 *π. Χ.*) *ὁ ζῦθος ὁ κρίθινος διεκρίνετο ὡς ἀριστοκρατικός, ὑπέρτερος τοῦ πυρίνου, τοῦ δημώδους,* Volksgetränk, *ζύθου τοῦ καλουμένου κόρμα: „παρὰ δὲ τοῖς ὑποδεεστέροις ζῦθος πύρινον μετὰ μέλιτος ἐσκευασμένον, παρὰ τοῖς πολλοῖς καθ' αὑτό· καλεῖται δὲ κόρμα, ἀπορροφοῦσι δὲ ἐκ τοῦ αὐτοῦ ποτηρίου κατὰ μικρόν, οὐ πλεῖον κυάθου· πυκνότερον δὲ τοῦτο ποιοῦσι· περιφέρει δὲ τοῦτο ὁ παῖς ἐπὶ τὰ δεξιὰ καὶ τὰ λαιά —“, Ἀθήν.* 4, 151. *Παρὰ δὲ τοῖς ὕστερον ὁ Κελτικὸς κρίθινος οἶνος ἢ ζῦθος οὐχὶ σπανίως μνημονεύεται· διετηρεῖτο ἐν τῇ βορείῳ Γαλλίᾳ, Βελγίῳ, Βρεταννικαῖς νήσοις ἐπὶ τῆς Ῥωμαϊκῆς Αὐτοκρατορίας μέχρι τοῦ Μεσαίωνος καὶ ἐντεῦθεν μέχρι τῆς σήμερον. Ὁ αὐτοκράτωρ Κωνσταντινουπόλεως Ἰουλιανὸς ὁ Ἀποστάτης* († 363 *μ. Χ.*) *ὁ ἑλληνικῶς ἀνατραφεὶς καὶ ἐκπαιδευθείς, ὁ τόσον θερμῶς ἀγαπήσας τὸ ἀρχαῖον θρήσκευμα καὶ τὸν πολιτισμὸν τῶν Ἑλλήνων, ὃς κατεξανέστη ἐναντίον τῶν βαρβάρων τοῦ Βορρᾶ*

καὶ τῆς Ἀνατολῆς, ἰδίοις ὄμμασιν εἶδε καὶ ἰδίᾳ γλώσσῃ ἐγεύσατο τοῦ κριθίνου καὶ πυρίνου οἴνου. Βαρέως δὲ φέρων, ἵνα βλέπῃ τὸν Βάκχον λατρευόμενον παρὰ τοῖς Κελτοῖς ἢ Γάλλοις οὐχὶ δι' οἴνου σταφυλίτου, ἀλλὰ διὰ κριθίνου ἢ πυρίνου, — κατέσκωψε τὸν Παρισινὸν Ψευδόβακχον διὰ κωμικωτάτου ἐπιγράμματος, ἐν ᾧ ἀρνεῖται καὶ τὴν ἀναγνώρισιν αὐτοῦ, οὕτω:

„Εἰς τὸν ἀπὸ κριθῆς οἶνον.

Τίς πόθεν εἶς Διόνυσε; μὰ γὰρ τὸν ἀληθέα Βάκχον
οὔ σ' ἐπιγιγνώσκω· τὸν Διὸς οἶδα μόνον.
κεῖνος νέκταρ ὄδωδε· σὺ δὲ τράγον· ἦ ῥά σε Κελτοὶ
τῇ πενίῃ βοτρύων τεῦξαν ἀπ' ἀσταχύων.
Τῷ σε χρὴ καλέειν Δημήτριον, οὐ Διόνυσον,
πυρογενῆ μᾶλλον, καὶ βρόμον, οὐ Βρόμιον“:

πρβλ. Iw. Müller's griech. Privataltertümer, 443 d, καὶ Vict. Hehn's Kulturpflanzen und Hausthiere 117—123.

Παραβαλλομένη πρὸς τὸν σῖτον ἡ κριθὴ ἔχει ὡς ὁ ἀγρότης ἀνὴρ πρὸς τὸν ἀστόν, ὡς ὁ ἄγροικος πρὸς τὸν εὐγενῆ, ὡς ὁ ἄγριος πρὸς τὸν ἥμερον, ὡς τὸ τραχὺ πρὸς τὸ ἁβρόν· οὕτως ἡ φύσις τῆς μὲν κριθῆς ἀγροτέρα ἐστὶ καὶ τραχεῖα, τοῦ δὲ σίτου εὐγενὴς καὶ ἁβρά. Δηλοῖ δὲ τοῦτο καὶ αὐτὸ τὸ ὄνομα κριθή, ἐτυμολογούμενον ἀπὸ τοῦ ἄκρα, ὄκρις, ὀκριόεις, ἤτοι ὁ ἔχων ἄκρας, ἐξοχάς, ἀνώμαλος, τραχύς, οἵα ἡ κριθή ἐστιν ἀνώμαλος καὶ τραχεῖα καὶ ἄγροικος ἔμπροσθεν τοῦ σίτου· ταὐτόσημον δὲ καὶ τὸ λατινικὸν ὄνομα τῆς κριθῆς hordeum, γινόμενον ἐκ τοῦ horridus (horreo, φρίσσω), φρικτός, ἀνώμαλος, τραχύς. Ἀλλὰ καὶ ἡ τιμὴ τῆς κριθῆς συνήθως ἦν ἡμίσεια τῆς τοῦ σίτου ἐν Ἑλλάδι· κατὰ δὲ τὴν Ἀττικήν, ἀρίστην κριθοφόρον οὖσαν, καὶ ἰδίως ἐν Ἀθήνας ἡ κριθὴ ἠξιοῦτο πλείονος τιμῆς, μέχρι τῶν δύο τρίτων τῆς τοῦ σίτου τιμῆς, φερομένης καὶ τότε ὥςπερ νῦν, κατὰ τὴν εὐφορίαν ἢ ἀφορίαν καὶ ἐξαγωγὴν ἢ εἰσαγωγὴν τῶν σιτηρῶν.

§ 11. Τὸ δὲ εὐγενέστατον καὶ σεμνότατον πάντων τῶν γεννημάτων τῆς γῆς, ὁ βασιλεὺς σιτηρῶν τε καρπῶν τε ἁπάντων, ἐστὶν ὁ σῖτος ἢ πυρός, Ἕλλησί τε καὶ Αἰγυπ-

τίοις γνωστὸς πάλαι. Πανταχοῦ γῆς καὶ παρὰ τοῖς ἀρχαίοις, ὅπου βροτοὶ ζῶσιν, „οἳ ἀρούρης καρπὸν ἔδουσιν“, ὁ σῖτος τὴν ἡγεμονίαν ἔχει ἐν τοῖς τῆς ξανθῆς Δήμητρος καρποῖς. Εὐρέα πυροφόρα πεδία καὶ ἀρούρας πυροφόρους ᾄδουσιν οἱ παλαιοὶ ποιηταὶ πολλάκις, ὅπως διὰ τοῦ χαρακτηρισμοῦ τούτου παραστήσωσι τὸ καλόν, τὸ εὐγενές, τὸ ὑπέροχον, τὸ ἥμερον καὶ πλούσιον ἅμα τῆς τε γῆς, τοῦ ἐδάφους, καὶ τῶν κατοίκων αὐτῶν. Τοιοῦτον καλὸν τέμενος ἀρούρης πυροφόρου ᾄδει ἡμῖν Ὅμηρος παρ' ὄχθας Ξάνθου ποταμοῦ, Ἰλ. Μ, 310:

„Γλαῦκε, τίη δὴ νῶϊ τετιμήμεσθα μάλιστα
ἕδρῃ τε κρέασίν τ' ἠδὲ πλείοις δεπάεσσιν
ἐν Λυκίῃ, πάντες δὲ θεοὺς ὣς εἰσορόωσιν;
καὶ τέμενος νεμόμεσθα μέγα Ξάνθοιο παρ' ὄχθας,
καλὸν φυταλιῆς καὶ ἀρούρης πυροφόροιο“.

Εν δὲ Ἰλ. Φ, 602 „πυροφόρον πεδίον“ παρὰ τὸν ποταμὸν „βαθυδινήεντα Σκάμανδρον“. Αὐτὴ δὲ ἡ εὐπλόκαμος θεὰ Δημήτηρ, ἧς τοὺς ξανθοὺς βοστρύχους εἰκονίζουσιν οἱ χρυσοῖ στάχυες τοῦ σίτου, καλεῖται ἀπὸ τούτου τοῦ εὐγενεστάτου τῶν καρπῶν αὐτῆς πυροφόρος παρὰ ποιηταῖς, ὡς καὶ πόλεις πυροφόροι, οἵαν τὴν πόλιν αὐτῶν οἱ Γελῷοι ὀνομάζουσιν ἐν τῷ ἐπὶ τοῦ μνήματος Αἰσχύλου ἐπιγράμματι:

„Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος“.

§ 12. Ὁ σῖτος καὶ παρὰ τοῖς παλαιοῖς ὑπάρχει ἡ κατ' ἐξοχὴν ἀνθρωπίνη τροφή, ὑπέροχος, εὐγενής, ἁβρά, ἡγεμονικὴ ἐν ἀντιθέσει πρὸς τὴν ἀπὸ τῆς κριθῆς καὶ τῶν λοιπῶν σιτηρῶν καὶ καρπῶν· σῖτός ἐστι τὸ σύμβολον, γνώρισμα τοῦ βαθμοῦ τῆς εὐγενείας καὶ τοῦ πολιτισμοῦ τῶν ἀνθρώπων, τῆς ἡμερότητος ἢ τῆς ἀγριότητος αὐτῶν. Οἱ ἥμεροι καὶ εὐδαίμονες τῶν ἀνθρώπων, οἱ οἰκοῦντες ἐν ἡμέροις καὶ πυροφόροις τόποις „σῖτον καὶ σπείρουσι καὶ σιτέονται“, Ἡροδ. 4, 17, ἔνθα ὁ λόγος περὶ Ἑλλήνων οἰκούντων τὴν μέσην παραλίαν τῆς Σκυθίας (ἐν τῇ Μαύρῃ Θα-

λάσσῃ καὶ τῇ Ἀζοφικῇ), παρὰ τὸν ποταμὸν Βορυσθένην (νῦν Dnjepr, Δνίπερ) καὶ νεμομένων τὸ ἐμπόριον· „ἀπὸ τούτου (τοῦ ἐμπορίου) πρῶτοι Καλλιπίδαι νέμονται, ἐόντες Ἕλληνες Σκύθαι“, ὅπερ μέρος νῦν Ῥωσσικὸν ἐπίσης ξενίζει ἱκανοὺς Ἕλληνας ἐμπόρους. Οἱ δὲ ἄγριοι, οἱ ὀρεσίβιοι οὔτε σῖτον σπείρουσι οὔτε σιτέονται, ἀλλὰ κρέα ἐσθίοντες καὶ καρποὺς καὶ τοιαῦτα ζῶσιν, ὡς παρὰ Διοδώρῳ (4, 30, 5) περὶ τῶν ἐν Σαρδοῖ νήσῳ ὀρεινῶν Ἰολαέων λέγεται πρὸς ἀπόδειξιν τῆς ἐκβαρβαρώσεως αὐτῶν: „ἐθίσαντες δ' ἑαυτοὺς τρέφεσθαι γάλακτι καὶ κρέασι καὶ πολλὰς ἀγέλας κτηνῶν τρέφοντες, οὐκ ἐπεδέοντο σίτου“. Παρὰ δὲ Ἡσιόδῳ τὸ τρίτον γένος τῶν ἀνθρώπων, ὅπερ ἐποίησε Ζεύς, τὸ χαλκοῦν, ὡσαύτως περιγράφεται „δεινόν τε καὶ ὄβριμον“, ἄγριον καὶ βίαιον, σῖτον οὐκ ἐσθίον, Ἡσ. Ἔργ. καὶ Ἡμ. 145:

. . . . „οἷσιν Ἄρηος
ἔργ' ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμόν,
ἄπλητοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι“.

Ἐν δὲ τῷ Ὁμηρικῷ κόσμῳ ὁ τοιοῦτος χαρακτηρισμὸς τῶν ἀνθρώπων ἀπὸ τῆς τροφῆς ὑπῆρχε συνήθης· οὕτως ἐν Οδ. ι, 84, ἀπαντῶσιν οἱ Λωτοφάγοι „οἵ τ' ἄνθινον εἶδαρ ἔδουσι“ καὶ λωτοῦ „μελιηδέα καρπόν“, ὃν καὶ οἱ ἑταῖροι Ὀδυσσέως φαγόντες, ι, 95:

„οὐκέτ' ἀπαγγεῖλαι πάλιν ἤθελον οὐδὲ νέεσθαι,
ἀλλ' αὐτοῦ βούλοντο μετ' ἀνδράσι Λωτοφάγοισιν
λωτὸν ἐρεπτόμενοι μενέμεν νόστου τε λαθέσθαι“.

Ἦσαν δ' οὗτοι ἀπεσταλμένοι ὑπὸ τοῦ Ὀδυσσέως, ἵνα ἐλθόντες πρὸς τοὺς Λωτοφάγους, ἐρωτήσωσιν αὐτούς, ι, 89:

„οἵ τινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες“.

Ἐν δὲ τοῖς ἀγῶσιν, οὓς ἐτέλουν ἐν Φαιακίᾳ (νῦν Κερκύρᾳ) „Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες“, ὁ Ὀδυσσεὺς προκληθεὶς καὶ νικήσας λᾶος ῥιπῇ, προκαλεῖται πάντα ἐκ τῶν Φαιάκων, πλὴν τοῦ ξενίζοντος αὐτὸν Λαοδάμαντος, εἰς ἀγῶνα ἢ πὺξ ἢ πάλῃ ἢ καὶ ποσίν, καυχώμενος οὑτωσίν, Ὀδ. θ, 221:

„τῶν δ' ἄλλων ἐμέ φημι πολὺ προφερέστερον εἶναι,
ὅσσοι νῦν βροτοί εἰσιν ἐπὶ χθονὶ σῖτον ἔδοντες“.

Εἰς δὲ τὴν χώραν τῶν Λαιστρυγόνων ἀφικόμενος ὁ Ὀδυσσεύς, ἀποστέλλει τῶν ἑταίρων αὐτοῦ τρεῖς, ἵνα ἐρωτήσωσιν αὐτούς, κ, 101:

„οἵ τινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες“.

Ἄνδρες σιτοφάγοι καὶ γεωργίαν ἔχοντες θεωροῦνται ἐν τῷ Ὁμηρικῷ κόσμῳ νόμιμοι καὶ δίκαιοι, φιλόξενοι καὶ μακάριοι· τοὐναντίον δὲ ἄνδρες οὐ σιτοφάγοι καὶ οὔτε φυτεύοντες χερσὶ φυτὸν οὔτε ἀροτριῶντες γῆν, οὗτοί εἰσιν ὑβρισταί τε καὶ ἄγριοι, οὐδὲ δίκαιοι ἢ φιλόξενοι, καὶ ἀνομίας οἴδασιν, οἷοι ᾄδονται ὑπὸ τοῦ ποιητοῦ οἱ Κύκλωπες, ἐν κεφ. II, § 6, καὶ ἑξῆς Ὀδ. ι, 112:

„Τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες,
ἀλλ' οἵ γ' ὑψηλῶν ὀρεῶν ναίουσι κάρηνα
ἐν σπέσσι γλαφυροῖσι, θεμιστεύει δὲ ἕκαστος
παίδων ἠδ' ἀλόχων, οὐδ' ἀλλήλων ἀλέγουσιν“.

Χάριν δὲ τῆς περιεργίας τοῦ φιλοθεάμονος ἀναγνώστου εἰσάγομεν ὧδε ἕνα τῶν ἐν Σικελίᾳ ἀγρίων καὶ ἀνόμων Κυκλώπων, ὅμοιον οὐ σιτοφάγῳ ἀνδρί, ἀλλὰ κορυφῇ δασώδει ὑψηλῶν ὀρέων, δεινότατον ἄνδρα ἀνθρωποφάγον, τὸν Πολύφημον, ἐξ Ὀδ. ι, 187:

„Ἔνθα δ' ἀνὴρ ἐνίαυε πελώριος, ὅς ῥα τὰ μῆλα
οἶος ποιμαίνεσκεν ἀπόπροθεν· οὐδὲ μετ' ἄλλους
πωλεῖτ', ἀλλ' ἀπάνευθεν ἐὼν ἀθεμίστια ᾔδη·
καὶ γὰρ θαῦμα τέτυκτο πελώριον, οὐδὲ ἐῴκειν
ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι
ὑψηλῶν ὀρέων, ὅ τε φαίνεται οἶον ἀπ' ἄλλων“.

ΚΕΦΑΛΑΙΟΝ III.

Συγκομιδὴ τῶν σιτηρῶν. Ἄμητος, ἀλοητός.

§ 1. Διαλαβόντες ἐν τοῖς ἔμπροσθεν ἐν γένει περὶ τῶν Δημητρίων καρπῶν καὶ ἰδίᾳ περὶ σιτικῶν, ἐν οἷς τὰ περὶ σίτου ἢ πυροῦ καὶ κριθῆς λεπτομερέστερον ἐξητάσθησαν

καὶ ὡρίσθησαν, προβαίνομεν ἤδη εἰς τὴν συγκομιδὴν αὐτῶν, ἰδόντες τὰ γεννήματα κατὰ πρῶτον ἐν φρισσούσαις ταῖς ἀρούραις, ἐν τοῖς ληΐοις ἔτι, μεμεστωμένα ἐπὶ καλάμαις καὶ ἐν στάχυσιν, ὥριμα τέλος πρὸς συγκομιδήν.

§ 2. Ἐπιστάσης τῆς ὥρας τοῦ ἀμήτου, ἠμῶντο ἢ ἐθερίζοντο ἐν τοῖς ληΐοις αὐτῶν οἱ τῆς Δήμητρος καρποὶ ὑπὸ ἀμητήρων, θεριστῶν ἀνδρῶν, ἀπὸ δὲ τῶν θεριζομένων σταχύων ἐσχηματίζοντο τὰ δράγματα, ἅπερ καὶ „ἱερὰ δράγματα ἀσταχύων“ ἐλέγοντο, αἱ ἄμαλλαι, καὶ ἀπὸ τούτων πάλιν σωρευομένων ἀπετελοῦντο οἱ θημῶνες, οἳ νῦν θημωνιαὶ καλοῦνται παρὰ τοις γεωργοῖς· τοῦτο δ' ἐγίνετο, ὅπως οἱ θεριζόμενοι καρποὶ ἐν στάχυσιν ἀποξηραίνωνται τελέως ὑπὸ τοῦ ἀέρος πρὸς ἀλόησιν μετὰ ταῦτα. Θημώνων δὲ εἰκόνα παρέχει ἡμῖν Ὅμηρος τήνδε ἐν Ὀδ. ε, 368:

„Ὡς δ' ἄνεμος ζαὴς ἠίων θημῶνα τινάξῃ
καρφαλέων· τὰ μὲν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλῃ·
ὣς τῆς δούρατα μακρὰ διεσκέδασε“·

ἡ δὲ παραβολὴ περὶ τῆς σχεδίας τοῦ Ὀδυσσέως, ἧς αἱ μακραὶ σανίδες διεσκορπίσθησαν ὑπὸ μεγάλου κύματος, ὡς θημῶνες ὑπὸ ἀνέμου. Ὅτε δὲ πολλὰ ἦσαν τὰ θερισιέα γεννήματα, τοῦτ' ἔστιν εὐφορία, οἱ παλαιοὶ ἔλεγον „ἀμητὸς πολύς ἐστι“ καὶ „καλῶς ἤμησαν“, ᾧ ἀντίθετον „ἀμητὸς ὀλίγιστος“, Ἰλ. Τ, 223, ἤτοι εἶχον πολλὴν ἐσοδείαν, εὐτυχίαν καὶ λοιπά, ὡς νῦν λέγεται.

Ἡ φωνὴ τοῦ Ἑλληνικοῦ λαοῦ οὐ λέγει νῦν ἀμᾶν, ἀμητός, ἀλλὰ χρῆται τῷ ἐπίσης ἀρχαίῳ θερίζειν καὶ θερισμός, θεριστής κλπ., ἀντὶ δὲ τοῦ συγκομίζω, comporto, συνάζω (συνάγω) τὰ γεννήματα, τὰ σπαρτά· ἐν τούτοις ἐτηρήθη ἐν τῇ δημώδει φωνῇ τὸ τρυγῶ, vindemio, λεγόμενον ἰδίως ἐπὶ τῆς συγκομιδῆς τοῦ καρποῦ τῆς ἀμπέλου καὶ μελισσίων κηρίων ἢ τοῦ μέλιτος, ὡς παρὰ τοῖς ἀρχαίοις, καὶ τρύγος, ὁ τρυγητὴς μήν, ὁ καιρὸς τῆς τρυγήσεως τρύγητος, ἀτρύγετο τὸ ἀμπέλι, οἷον τὸ Ὁμηρικὸν „ἀτρυγέτοιο θαλάσσης“.

§ 3. Παρ' Ἡσιόδῳ ὁρίζονται ἐν γένει τὰ γεωργικὰ ταῦτα ἔργα, ὁ ἄροτος, σπορητὸς καὶ ἄμητος οὕτω:

„Σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν οἶσι,
ὧδ' ἔρδειν, καὶ ἔργον ἐπ' ἔργῳ ἐργάζεσθαι.
Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀ μ ή τ ο υ, ἀρότοιο δὲ δυσομενάων",

Ἡσ. Ἐργ. καὶ Ἡμ. 381· καὶ κατωτέρω αὐτόθι 391:

... „Γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν (ἀροτριᾶν),
γυμνὸν δ' ἀμάειν, εἴ χ' ὥρια πάντ' ἐθέλῃσθα
ἔργα (καρποὺς) κομίζεσθαι Δήμητρος· ὥς τοι ἕκαστα
ὥρι' ἀέξεται, μή πως τὰ μέταζε χατίζων
πτώσσῃς ἀλλοτρίους οἴκους καὶ μηδὲν ἀνύσσῃς".

Ἀπὸ δὲ τοῦ Ὁμήρου μανθάνομεν λεπτομερῶς περὶ τοῦ τρόπου τοῦ ἀμήτου πάλαι· οἱ δὲ παραστάντες θεαταὶ θερισμοῦ ἢ γινώσκοντες ἄλλως, πῶς νῦν οὗτος γίνεται παρὰ τοῖς γεωργοῖς, ἀναγνωρίσουσι πάντως, ὅτι καὶ νῦν ἔτι Ὁμηρικῷ τῷ τρόπῳ θερίζουσιν, ὅπου ὁ νεώτερος μηχανισμὸς οὔπω ἐθέρισε τὰς χεῖρας τῶν ἀτυχῶν γεωργῶν. Ψάλλε δὴ καὶ ἡμῖν, θεῖε ποιητά, ἀπὸ τῶν ἀθανάτων ἔργων τῆς σῆς μούσης τὸν ἄμητον:

„Οἱ δ', ὥστ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν
ὄγμον ἐλαύνωσιν, ἀνδρὸς μάκαρος κατ' ἄρουραν
πυρῶν ἢ κριθέων· τὰ δὲ δράγματα ταρφέα πίπτει·
ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες
δῄουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο",

Ἰλ. Λ, 67. Ἐνταῦθα ὁ ἄμητος ζωηρότατος παρίσταται ἐν κρατερᾷ μάχῃ, καθ' ἣν Ἕλληνες καὶ Τρῶες, ὡς λύκοι ἐφορμῶντες ἀλλήλοις καὶ μαχόμενοι, θ ε ρ ί ζ ο ν τ]α ι ἑκατέρωθεν καὶ πίπτουσι πυκνοί, ὡς „δράγματα ταρφέα πίπτει". Ἀλλὰ πληρεστάτη εἰκὼν ἀμητοῦ ὑπάρχει ἐν Ἰλ. Σ, 550, ἐν τῇ περιγραφῇ τῆς ἀσπίδος τοῦ Ἀχιλλέως, αὕτη:

„Ἐν δ' ἐτίθει τέμενος βαθυλήϊον· ἔνθα δ' ἔριθοι
ἤμων ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες·
δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πῖπτον ἔραζε,
ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
τρεῖς δ' ἄρ' ἀμμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθεν
παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες,
ἀσπερχὲς πάρεχον· βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ

σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ.
κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο,
βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες
δεῖπνον ἐρίθοισιν λεύκ' ἄλφιτα πολλὰ πάλυνον".

§ 4. Ἕπεται δὲ τῷ ἀμήτῳ ὁ ἀλοητός, tritura. Τῶν ἀλοητικῶν ὀργάνων κυριώτερον ἦν τὸ καὶ νῦν ἔτι ἐν χρήσει παρὰ τοῖς γεωργοῖς, ἡ ἀπωξυσμένη ἀχυρότριψ σανίς, τρίβολος (τριβελὴς) ἢ τρίβολον, tribulum, λεγομένη· ἐσύρετο δὲ αὕτη ἐπὶ τῶν ἐν τῇ ἅλῳ ἐστρωμένων σταχύων ὑπὸ κτηνῶν, ἡμιόνων ταλαεργῶν, βοῶν, βραδύτερον (παρὰ Ξενοφῶντι) καὶ ἵππων, ὑπεζευγμένων ὑπὸ ζυγόν, ἐπιπροστιθεμένου μεγάλου βάρους ἢ καὶ τοῖ ἡνιόχου αὐτοῦ ἐπικαθημένου, ὅπως ἐκτρίβωνται ὑπὸ τὸ βάρος τῆς τριβόλου τὰ σπέρματα ἀπὸ τῶν σταχύων, πρὸς ὃ καὶ οἱ παρὰ Ξενοφ. οἰκ. 18, 6, ἐπαλῶσται παρακολουθοῦντες συνέπραττον διὰ τοῦ δικράνου. Ἔπειτα ἡ τυτάνη ἢ τυκάνη ἦν ὄργανον ὡσαύτως ἀλοητικὸν ὡς ἀχυρότριψ. Τὰ νῦν ἡ δημώδης φωνὴ τὴν παράδοσιν τηροῦσα λέγει ἐν τῷ ἀλοητῷ, ἁλώνι(ον), ἁλωνίζω, ἁλωνιστής, ἁλώνισμα, τὸ τρίβολον τριβόλι(ον), τὴν τυκάνην δουκάνι(ον) καὶ τὸ δίκρανον δικρᾶνι(ον).

§ 5. Μετὰ τὴν ἀλόησιν ἐγίνετο ἀμέσως ἡ τοῦ καρποῦ κάθαρσις ἀπὸ τῶν ἀχύρων διὰ λικμήσεως ὑπὸ λικμητήρων ἀνδρῶν. Καὶ ἡμεῖς τοίνυν, κατὰ Ξεν. οἰκ. 18, 6, „καθαροῦμεν τὸν σῖτον λικμῶντες" χρώμενοι πρὸς τοῦτο ὀργάνοις λικμῷ ἢ λίκνῳ, vanno, τῷ ἐν Ἀριστοφ. Εἰρ. 559 „διαστίλβοντι πρὸς τὸν ἥλιον θρίνακι" ἢ τρίνακι, καὶ τῷ πτύῳ, ventilabro. Ἀντὶ λίκνου ὁ λαὸς λέγει νῦν δερμόνι, ἴσως ἐκ τοῦ δέρμα, δέρμων, δερμόνι(ον), διότι δερμάτινον τὸ λίκνον, τὸ δὲ λικνίζω διετηρήθη λιχνίζω.

Ἐξελέγετο δὲ ὁ βοηθητικὸς πρὸς λίκμησιν καιρός, καθ' ὃν ἔπνεεν ἄνεμος, ἀναγκαῖος ὅπως διασκορπίζωνται τὰ θρύμματα τῶν ἀχύρων καὶ διακρίνηται ὁ καρπός. Πρὸς δὲ τούτοις ἐζητεῖτο καὶ τὸ κατάλληλον μέρος, ὁπόθεν ἔδει ἄρχεσθαι τῆς λικμήσεως· οὕτως ἤρχοντο οὐκ ἀπὸ τοῦ προσηνέμου τῆς ἅλω λικμῶντες, ἵνα μὴ τὰ ἄχυρα ὑπὸ τοῦ

ἀνέμου φερόμενα ἐπιστρέφωσιν αὖθις ἐπὶ τὸν ἤδη λικμηθέντα καὶ καθαρθέντα καρπόν, ἀλλ' ἐκ τοῦ ὑπηνέμου τῆς ἅλω ἤρχοντο λικμῶντες, προβαίνοντες οὕτω μέχρι τέλους, τὰ δ' ἄχυρα ἐπὶ τὰς ἀχυρμιὰς (ἀχυροβολῶνας) ἐφέροντο. Οὕτω δὴ μέχρι τοῦ κέντρου τῆς ἅλω γενομένου τοῦ λικμήματος, ὁ ἤδη καθαρθεὶς καρπὸς συναγόμενος, ἐσωρεύετο ἐν αὐτῷ τῷ κέντρῳ τῆς ἅλω, ὁπόθεν πάλιν ἐξηκολούθουν λικμῶντες καὶ τὸν λοιπὸν σῖτον ὡσαύτως μέχρι τέλους. Οὕτω δὲ περατουμένης τῆς τοῦ μήλοπος καρποῦ συγκομιδῆς ἐν τῷ λικμήματι, πάντοτε, ἐννοεῖται, ὑπὸ τὴν ἀόρατον παρουσίαν καὶ ἐποπτείαν τῆς ἰδίας ξανθῆς θεᾶς, τῆς Ἀλωάδος Δήμητρος, ἐπήγνυτο τότε, κατ' ἔθος ἅμα καὶ κατ' εὐχήν, ἐπὶ μέσῳ τῷ σεσωρευμένῳ σίτῳ μέγα πτύον, ἐκπληρουμένης ἐνταῦθα τῆς εὐχῆς: „Δήμητρος Ἀλωάδος ἐπὶ σωρῷ πήξαιμι μέγα πτύον“, Θεόκρ. 7, 155.

Ἄγε δή, ποιητά, εἰπὲ καὶ ἡμῖν ἀνδρῶν λικμώντων εἰκόνα ἱερὰς κατ' ἀλωάς:

„Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες οὐδ' ἐφόβηθεν.
ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς,
ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ
κρίνῃ, ἐπειγομένων ἀνέμων, καρπόν τε καὶ ἄχνας·
αἱ δ' ὑπολευκαίνονται ἀχυρμιαί· ὣς τότ' Ἀχαιοὶ
λευκοὶ ὕπερθε γένοντο κονισάλῳ, ὅν ῥα δι' αὐτῶν
οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων,
ἂψ ἐπιμισγομένων· ὑπὸ δ' ἔστρεφον ἡνιοχῆες“,

Ἰλ. Ε, 498. Ἐν δὲ Ἰλ. Ν, 586 οὑτωσί:

„Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ
θώρηκος γύαλον, ἀπὸ δ' ἔπτατο πικρὸς ὀϊστός.
ὡς δ' ὅτε ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλωὴν
θρώσκουσιν κύαμοι μελανόχροες ἢ ἐρέβινθοι
πνοιῇ ὕπο λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ,
ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
πολλὸν ἀποπλαγχθεὶς ἑκὰς ἔπτατο πικρὸς ὀϊστός“.

ΚΕΦΑΛΑΙΟΝ IV.

Σιτοποιΐα. Ἄλευρα, ἄλφιτα.

§ 1. Συγκομισθέντων τῶν σιτηρῶν ἐν ταῖς ἀποθήκαις, σκευασώμεθα ἤδη ἀπ᾽ αὐτῶν ἄλευρα, ἄλφιτα καὶ εἴ τι τοιοῦτον. Ἐν πρώτοις παρατηροῦμεν καθόλου, ὅτι τὸ κόπτειν ἢ ἀλεῖν τὰ σιτηρὰ ἦν ἔργον δυσχερέστατον κατ᾽ ἀρχὰς δι᾽ ἔλλειψιν ἐπιτηδείων ὀργάνων, ἀπῃτεῖτο δὲ προηγουμένως καὶ μακρὰ προπαρασκευαστικὴ ἐργασία, ὡς ἐπιχέειν τὰς κριθάς, φρύγειν, πτίσσειν καὶ τέλος ἄλφιτα καὶ ἄλευρα τεύχειν, ἢ ἀλεῖν, ὅπερ παρὰ Πολυδ. 7, 180 „μύλην περιάγειν, περιφέρειν, περιελαύνειν, στρέφειν“ βραδύτερον ἐλέγετο· ἡ δὲ ἀπὸ τῶν Ὁμηρικῶν χρόνων φαινομένη μύλη, μύλος, μετὰ πολλοῦ καμάτου ὑπὸ τῶν δούλων τοῦ οἴκου κατ᾽ ἀρχὰς διὰ τῶν χειρῶν ἐστρέφετο. Ἡ ἐφεύρεσις τῆς μύλης ἀπεδίδοτο ὑπὸ τῶν ἐν Λακωνίᾳ Δωριέων τῷ Μύλητι, υἱῷ τοῦ Λέλεγος, αὐτόχθονος ἐν Λακεδαίμονι, πατρὸς τοῦ Εὐρώτα, Παυσ. 3, 20, 2· ὁ δὲ Ζεὺς αὐτός, ὡς προστάτης τῶν μύλων, καλεῖται μυλεύς, Λυκόφρ. 435, καὶ ἀρχαία παροιμία ἦν: „ὀψὲ θεῶν ἀλέουσι μύλοι, ἀλέουσι δὲ λεπτά“, λεγομένη ἐπὶ τῆς βραδείας μέν, ἀλλ᾽ ἀναποφεύκτου θείας δίκης. Αὐτὴ δ᾽ ἔτι ἡ λέξις μύλη ἢ μύλος δηλοῖ τὸ ὄργανον, δι᾽ οὗ ἀλοῦσι, ἐτυμολογουμένη ἐκ τοῦ μύειν, μύλλειν, κλείειν, πιέζειν, συντρίβειν, ἢ ἐκ τοῦ λατιν. molere = ἀλεῖν, mola = μύλη, γερμ. Mühle.

Πρὸ τῆς ἐφευρέσεως τῶν μύλων τὰ σιτηρὰ ἐθρύπτοντο ἐν τοῖς ὅλμοις, ὡς ἐν ἰγδίοις. Ἦν δὲ ὁ ὅλμος (πιθανῶς ἀπὸ τοῦ ἔλω, ἀλέω, molo, ἢ ἀπὸ τοῦ εἴλω, volvo) τμῆμα στελέχους δένδρου, ἔσωθεν ἐσκαμμένον, κοῖλον ἐν εἴδει ἴγδης ἢ σκάφης, ἐν ᾧ τὰ σιτηρὰ καὶ ὄσπρια εἰσβαλλόμενα ἐπτίσσοντο καὶ ἐκόπτοντο, ὡλμοκοποῦντο. Παρ᾽ Ἡσιόδῳ Ἔργ. καὶ Ἡμ. 423 εὑρίσκομεν: „ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον (ἰγδιοκόπανον, γουδοχέρι) δὲ τρίπηχυν“· ἐν δὲ Ἀριστοφ. Σφ. 238: „τῆς ἀρτοπώλιδος λαθόντες ἐκλέψα-

μεν τὸν ὅλμον“. Οἴκοθεν δ' ἐννοεῖται, ὅτι οἱ πρὸς τοιαύτην χρῆσιν ὅλμοι τῶν ἀρχαίων ἦσαν πολλῷ μείζονες τῶν νῦν ἐν λεπτοτέρα χρήσει, ἦσαν τριῶν ποδῶν τὸ μῆκος, ὡς ὁ Ἡσιόδειος ὅλμος τριπόδης, οἷος φαίνεται καὶ ἐν ζωγραφίᾳ ἀρχαίου ἀγγείου, δύο γυναικῶν μετὰ μακρῶν κοπάνων κοπτουσῶν ἐν αὐτῷ, (ἴδε Blümner, Technologie und Terminologie der Gewerbe Α', σ. 22)· πρβλ. περὶ ὅλμου Σχολ. Ἀριστφ. Σφ. 238, καὶ Εὐστάθ. ἐν Ὁμ. Ἰλ. σ. 770. Περὶ δὲ Βαβυλωνίων ὁ Ἡρόδοτος διηγεῖται, ὅτι οὗτοι ἐκοπάνιζον ἐν ὅλμοις ξηροὺς ἰχθῦς, οὓς ἔπειτα κοσκινίζοντες διὰ σινδόνος, οἱ μὲν ὡς μᾶζαν μαξάμενοι ἐξ αὐτῶν, οἱ δὲ ὡς ἄρτον ὀπτήσαντες, ἔτρωγον· διότι „εἰσὶν αὐτέων (Βαβυλωνίων) πατριαὶ τρεῖς, αἳ οὐδὲν ἄλλο σιτέονται, εἰ μὴ ἰχθῦς μοῦνον“, Ἡρ. 1, 200.

§ 2. Ἀπὸ τοῦ Ὁμήρου μανθάνομεν, ὅτι ἀλοῦνται τὰ σιτηρὰ ἐν τῇ μύλῃ κατ' οἶκον: „ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν“, Ὀδ. η, 104. Βραδύτερον δέ, σὺν τῷ χρόνῳ τελειοτέρων γινομένων τῶν σιτοποιϊκῶν ὀργάνων, ἡ μύλη ἀπὸ τοῦ οἴκου μετηνέχθη εἰς ἴδιον ἐπὶ τούτῳ οἴκημα ἢ τόπον, κληθέντα μυλῶνα ἢ μύλωνα ἐν γένει· ἀπὸ τοῦ εἴδους ὅμως τῶν ἐν αὐτοῖς ἀλουμένων σιτηρῶν καὶ τοῦ τρόπου τοῦ κόπτεσθαι αὐτὰ ἐκαλοῦντο καὶ ἄλλως, ὡς π. χ. ἀλφιτεῖα οἱ μυλῶνες, ἐν οἷς ἐκόπτοντο ἄλφιτα· οὕτω καὶ χονδρεῖα καὶ χονδροκοπεῖα, ἔνθα ἐκόπτοντο οἱ χόνδροι κ. τ. τ. Διὰ δὲ τὸ χερσὶ στρέφεσθαι ὠνομάζετο ἡ μύλη καὶ χειρομύλη, ὡς παρὰ Ξεν. Κύρ. 6, 2, 31· μηχάνησις δὲ σιτοποιϊκή, ἐν Πολυβ. 1, 22, 7, καθὼς νῦν λέγεται, χειρόμυλος, ὑδρόμυλος, ἀνεμόμυλος, ἀτμόμυλος, ἀρτοποιϊκὴ μηχανή, ζυμωτικὴ μηχανή κλπ.

§ 3. Ἡ χρῆσις ὑποζυγίων, ὄνων συνήθως, ἐν τῷ ἀλεῖν ἢ τὸν ἄνω μυλόλιθον στρέφειν, ὕστερον εἰσαχθεῖσα, θεωρητέα ὡς ἱκανὸν βῆμα προόδου τῆς σιτοποιϊκῆς τέχνης. Οἴκοθεν δὲ ἐννοεῖται, ὅτι καὶ οἱ ἀποτελοῦντες τὸν μύλον δύο λίθοι, οἱ κατ' ἀρχὰς μικροὶ καὶ διὰ τῶν χειρῶν μόνον κινούμενοι, ἤδη ἦσαν μεγάλοι καὶ βαρύτατοι, διὰ τῶν ὑποζυγίων στρεφόμενοι. Συγχρόνως δὲ φαίνεται, ὅτι ἀμφότεροι οἱ μυλόλιθοι ὠνομάσθησαν καὶ ὄνοι, ἴσως διὰ τὸ βάρος,

ἄχθος, διότι onus λατιν. σημαίνει ἄχθος, βάρος· πάντοτε ὅμως μετὰ τοῦ ἀλέτης ἢ ἀλέτων, ὡς παρὰ Ξενοφῶντι „ὄνους ἀλέτας παρὰ τὴν Βαβυλῶνα“ . . ., Ἀν. 1, 5, 5. Κυρίως ὄνος ἀλέτης καλεῖται μόνον ὁ ἄνω στρεφόμενος τοῦ μύλου λίθος ἐπὶ τοῦ κάτω ἀκινητοῦντος, Ἀλεξ. ἐν Ἀθην. 13, 590, Ἀριστοφ. Σφ. 648· καὶ Μοῖρις: „μύλος, ἡ τράπεζα τοῦ μύλου· ὄνος, τὸ ἄνω τοῦ μύλου“. Καὶ παρ' Ὁμήρῳ δὲ διὰ τοῦ μύλη ἐννοεῖται ἰδίως μόνον ὁ κάτω λίθος τοῦ μύλου, ὁ τραπεζίτης, ὡς φαίνεται ἐν τῷ „ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν“, Ὀδ. η, 104· ἄλλως δὲ περιληπτικῶς διὰ τοῦ μύλη ἢ μύλος ἐννοοῦνται ἀμφότεροι οἱ μυλόλιθοι, ὡς κοινῶς νῦν, ὁ μύλος, ὁ καὶ ἀλετών, παρ' Ἀθην. 6, 263. Οἱ δὲ παρ' ἡμῖν νῦν λεγόμενοι μυλόλιθοι καὶ μυλόπετραι (μυλωνόπετραι) παρ' Ὁμήρῳ καλοῦνται μύλακες (λίθοι), Ἰλ. μ, 161· ἐν Στράβ. 6, 2, 3, μυλίαι λίθοι, καὶ Πλάτ. Ἱππ. μείζ. 292, μυλίαι· παρὰ Γαλην. καὶ Ἡρωδν. 3, 1, 14, μυλῖται· ἐν Ἰ. Εὐαγγελίῳ „ὀνικὸς μύλος“, Ματθ. 18, 6 καὶ „μυλικὸς λίθος“, Μάρκ. 9, 42. Μύλακρον δὲ ἐκαλεῖτο τὸ ξύλον, δι' οὗ ἐστρέφοντο οἱ μυλῖται, molucrum, quo molae vertuntur. Καὶ τοσαῦτα μὲν περὶ τοῦ ἀρχαίου μύλου, τοῦ σπουδαιοτάτου τούτου ὀργάνου τῆς σιτοποιΐας ἀπὸ τῶν ἀρχαιοτάτων μέχρι τῶν καθ' ἡμᾶς χρόνων.

§ 4. Ἡ δὲ ἐργασία αὐτὴ τοῦ ἀλεῖν, molendi actio, ἢ τὸ μύλην στρέφειν, κατ' ἀρχὰς ἐξετελεῖτο ἰδίως ὑπὸ τῶν τοῦ οἴκου θεραπαινίδων ἢ δμωῶν καὶ ἐν τῷ οἴκῳ αὐτῷ, βραδύτερον δὲ τὸ ἔργον τοῦτο καθίστατο μᾶλλον ἀνδρῶν ἴδιον, καὶ τέλος ἐπάγγελμα μυλωθρικόν, καθ' ὅσον προώδευεν ἡ σιτοποιϊκή. Ἀπὸ τῶν ἑπομένων χωρίων τοῦ Ὁμήρου μανθάνομεν πληρέστατα, πῶς ἐγίνετο κατ' ἀρχὰς ὁ ἄλετος, καὶ δὴ ἐν τοῖς μεγάροις αὐτοῦ τοῦ βασιλέως τῆς Ἰθάκης, τοῦ Ὀδυσσέως, οὕτως ἐν Ὀδ. υ, 105:

„φήμην δ' ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρὶς
πλησίον, ἔνθ' ἄρα οἱ μύλαι εἵατο ποιμένι λαῶν,
τῇσιν δώδεκα πᾶσαι ἐπερρώοντο γυναῖκες,
ἄλφιτα τεύχουσαι καὶ ἀλείατα, μυελὸν ἀνδρῶν.

αἱ μὲν ἄρ' ἄλλαι εὗδον, ἐπεὶ κατὰ πυρὸν ἄλεσσαν,
ἡ δὲ μί' οὔ πω παύετ', ἀφαυροτάτη δὲ τέτυκτο·
ἥ ῥα μύλην στήσασα, ἔπος φάτο, σῆμα ἄνακτι".

. . . .

„οἳ δή μοι καμάτῳ θυμαλγέϊ γούνατ' ἔλυσαν,
ἄλφιτα τευχούσῃ, νῦν ὕστατα δειπνήσειαν".

Ὀδ. υ, 118· ἐν δὲ η, 103, ὡσαύτως λέγεται:

„Πεντήκοντα δέ οἱ δμωαὶ κατὰ δῶμα γυναῖκες,
αἱ μὲν ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν,
αἱ δ' ἱστοὺς ὑφόωσι καὶ ἠλάκατα στρωφῶσιν
ἥμεναι, οἷά τε φύλλα μακεδνῆς αἰγείροιο".

Μνημονεύονται δ' ἔτι καὶ ἐ π ι μ ύ λ ι α ᾄσματα, ἅπερ συνήθως ὑπὸ γυναικῶν ᾔδοντο ἐν τῷ ἀλεῖν, οἷον τὸ ἐν Ἠθ. Πλουτάρχ. 157 περισωθὲν ἐν τῷ Συμποσίῳ:

„Ἄλει, μύλα, ἄλει·
καὶ γὰρ Πιττακὸς ἄλει
μεγάλας Μιτυλάνας βασιλεύων",

ἐγκώμιον πρὸς τὸν μεγάλης Μιτυλήνης βασιλέα, ᾧ ἐφαίνετο προσφιλὴς ἡ ἐν τῇ μύλῃ ἄσκησις. Ἔτι δὲ καὶ „ἱμαῖος ἡ ἐπιμύλιος καλουμένη" ἢ „ἱμαῖος ᾠδὴ μυλωθρῶν", Ἀθήν. 14, 619, ὅπερ ἦν καὶ ἐ π α ν τ λ α ῖ ο ν ᾆσμα, τὸ ἱ μ α ῖ ο ν· ὡσαύτως καὶ „ᾠδὴ π τ ι σ σ ο υ σ ῶ ν", Πολυδ. 4, 55, ἤτοι ᾠδή, ἣν γυναῖκες ἐν τῷ πτίσσειν ᾖδον.

§ 5. Αἱ ἀλοῦσαι γυναῖκες καλοῦνται: ἀ λ ε τ ρ ί δ ε ς, Ὁμ., Ἀριστφ.· σ ι τ ο π ο ι ο ὶ γυναῖκες, γενικώτερον, Θουκ., Ἡρόδ., ὅπερ ὅμως ἰδίως δηλοῖ ἀ ρ τ ο π ο ι ό ν, συνηθέστερον περὶ ἀνδρῶν λεγόμενον· μ υ λ ω θ ρ ί δ ε ς, Εὔβουλ. ἐν Ἀθην. 11, 494· μ υ λ α κ ρ ί δ ε ς, Πολυδ. 7, 180, καὶ μ υ λ α β ρ ί δ ε ς, Ἡσύχ. Οἱ δὲ ἄνδρες ὀνομάζονται μ υ λ ω θ ρ ο ί (μύλη-ὠθῶ, μυλ-ωθ-ρός) καὶ ἀ λ έ τ α ι (θηλ. ἀλετρίς), Ἀθήν. 14, 618, καὶ ἀ λ φ ι τ ε ῖ ς, ἰδίως μυλωθροὶ ἄλφιτα κόπτοντες, καὶ γενικώτερον σ ι τ ο π ο ι ο ί. Παρατηρητέον δ' ἐνταῦθα, ὅτι οἱ ἐν τοῖς μυλῶσιν ἐργαζόμενοι ἦσαν πρῶτον οἱ κεκτημένοι μυλῶνα καὶ οἱ ἐξ ἀπαγγέλματος μυλωθροῦ ἐργαζόμενοι, ὡς καὶ ἄλλοι τῶν βουλομένων ἐλευθέρως ἐργάζεσθαι, μι-

σθοῦ ἀπολαύοντες· ἔπειτα δὲ ἦσαν πολλοὶ οἱ καταβαλλόμενοι εἰς μυλῶνα καὶ ἠναγκασμένοι ἐργάζεσθαι, περὶ ὧν ἐλέγετο καὶ τὸ „εἰς μυλῶνα ἐμπεσεῖν", Λυσ. 1, 18, καὶ „καταβάλλειν εἰς μυλῶνα"· καὶ περὶ βουλομένου ἄρχειν οὐκ ἀξίου ἐλέγετο: „ἐν τῷ μυλῶνι αὐτὸν προσῆκεν εἶναι μᾶλλον ἢ τῶν λοιπῶν κύριον γενέσθαι". Ἡ δὲ τοιαύτη καταναγκαστικὴ ἐργασία ἐν τῷ μυλῶνι, ἀντιστοιχοῦσα πρὸς τὸ νεώτερον κάτεργον, travaux forcés, ἢ πρὸς τὴν ἐξορίαν τῆς Σιβηρίας ἐν Ῥωσσίᾳ τὰ νῦν, ἦν ποινή, ἐπιβαλλομένη τοῖς πονηροῖς τῶν δούλων ὑπὸ τῶν κυρίων αὐτῶν· καὶ γυναῖκες δὲ ὡσαύτως ἐδύναντο εἰς μυλῶνα ἐμπεσεῖν, οἵαν παρὰ Λυσίᾳ εὑρίσκομεν γυναῖκα ἀπειλουμένην „ἐμπεσεῖν εἰς μυλῶνα μαστιγωθεῖσαν καὶ μηδέποτε παύσασθαι κακοῖς τοιούτοις συνεχομένην"· αἱ δὲ παρ' Ἀριστοφ. ἐν Λυσ. 653 ἀλετρίδες ἦσαν „παρθένοι τὰ εἰς τὰς θυσίας πόπανα ἀλοῦσαι· καὶ ἔστι τοῦτο ἐπιτίμιον", Ἡσύχ. Τόπος ἢ μυλών, ἐν ᾧ οἱ κατάδικοι τῶν δούλων ἐτιμωροῦντο, — ἦν τὸ ζητρεῖον, Εὔπολ. παρὰ Μεγ. Ἐτυμ., locus, in quo servi puniuntur, καὶ ζητρεύειν, στρέφειν τὸν μύλον ἐν τῷ ζητρείῳ, in pistrino torquere, ἢ καταδίκη τοῦ στρέφειν τὸν χειρόμυλον. Πρὸς ἐπίμετρον δὲ τῆς ποινῆς τῶν οὕτως ἐν τοῖς μυλῶσιν ἐμπεσόντων ἐφράττετο τὸ στόμα διὰ τῆς λεγομένης παυσικάπης (παύουσα κάπτειν), περιβαλλομένης δίκην φιμώτρου ἀπὸ τοῦ τραχήλου, ὅπως ἐν τῷ ἀλεῖν ἢ φυρᾶν κωλύωνται κάπτειν ἐκ τῶν ἀλφίτων, Πολυδ. 7, 20, Σχολ. Ἀριστφ. Εἰρ. 14.

§ 6. Ἐπιβάλωμεν ἤδη τὸν σῖτον ἐπὶ τὸν ἀλετῶνα καὶ ἴδωμεν τὰ ἐντεῦθεν προϊόντα τῆς ἀρχαίας σιτοποιΐας. Πρῶτος ὁ ποιητὴς γνωρίζει ἡμῖν ταῦτα, ᾄδων πῶς οἱ ἥρωες αὐτοῦ ἀπὸ κριθῶν καὶ πυρῶν ἄλφιτα τεύχουσι καὶ ἀλείατα καὶ δὴ ἐν τοῖς μεγάροις Ὀδυσσέως, ὡς ἀνωτέρω εἴδομεν ἐν § 4, σ. 26. Ἡ κυριωτέρα δὲ βελτίωσις, ἥτις φαίνεται ἀρχομένη τότε ἐν τῇ τροφῇ τῶν Ὁμηρικῶν ἀνθρώπων, ἐστὶν αὐτὴ ἡ τῶν ἀλφίτων, καὶ μάλιστα ἡ τῶν ἀλειάτων, τῶν λεπτοτέρων τούτων ἀλεύρων παρασκευή, ἣν διακρίνει ἐνταῦθα ὁ ποιητὴς ἀπὸ τῆς τῶν ἀλφίτων, ἔπειτα ὁ ἐξ αὐτῶν γινόμενος ἄρτος διάφορος, ὑπέ-

ροχος, τὸ πύρνον, καὶ ἡ τοῦ ἁλός, ἅλατος χρῆσις, θείου καλουμένου, περὶ οὗ ἐν Ἰλ. Ι, 214: „πάσσε δʼ ἁλὸς θείοιο“ ἐπὶ τῶν ἐν ὀβελοῖς ὀπιωμένων κρεῶν· καὶ ἐν παροιμίᾳ: „σὺ . . . . . οὐδʼ ἅλα δοίης“, Ὀδ. ρ, 455, καθὼς νῦν „οὔτε ἅλας δὲν δίδεις“, ἐπὶ τῶν ἄγαν φειδωλῶν. Περὶ δὲ τούτων ὁ Müller γράφει τάδε: „Der Hauptfortschritt in der Verbesserung der Nahrung lag aber offenbar in der allgemeinen Anwendung des Salzes (θεῖος ἅλς), und in der Bereitung des feineren Mehles aus den am meisten angebauten Getreidesorten, der Gerste (ἄλφιτα, Gerstenschrot, Gerstenmehl, Mehl) und Weizens (ἀλείατα) und in dem Backen des eigentlichen Brotes, das vornehmlich Weizenbrot (πύρνον) war, während Gerste mehr zur μᾶζα verwendet wurde, besonders aber in der Kultur des Weinstockes“, griechisch. Privataltertümer, 441 b, § 70, von Iw. Müller.

§ 7. Ὡς οἱ Ὁμηρικοὶ ἥρωες, οὕτω καὶ οἱ τῆς κατὰ Πλάτωνα Πολιτείας πολῖται αἰῶνας βραδύτερον „ἐκ μὲν τῶν κριθῶν ἄλφιτα, ἐκ δὲ τῶν πυρῶν ἄλευρα σκευάζονται, τὰ μὲν πέψαντες, τὰ δὲ μάξαντες, μάζας γενναίους καὶ ἄρτους“, Πλάτ. Πολ. 2, 372, μετὰ τῆς διαφορᾶς βεβαίως, ὅτι τὰ προϊόντα τῆς σιτοποιΐας ἤδη ἦσαν κρείττονα. — Τὰ ἄλευρα κατειργάζοντο ἀπὸ σίτου, λεπτότερον ἀλουμένου, ὅπερ καταφαίνεται καὶ ἐν τῷ Ὁμηρικῷ „ἐπεὶ κατὰ πυρὸν ἄλεσσαν“, ἔνθα καὶ ἡ πρόθ. κατά, κατάλεσσαν, ἐπιτείνει τὴν λεπτότητα, μάλιστα προκειμένου περὶ ἀλεύρων ἐνταῦθα οὐ κοινῶν, ἀλλὰ βασιλικῶν, ὑπερόχων· οὕτω καὶ ἐν τῷ „ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν“. Ἄλευρον, ἀλείατα (ἄλειαρ), πᾶν ἀληλεσμένον ἐστί, ἢ ἄλεσμα, σύντριμμα, ὡς δηλοῖ καὶ ἡ λέξις γινομένη ἐκ τοῦ ἀλέω, ἀλέϝω (ἀλέθω νῦν), συντρίβω, λεπτῶς τρίβω, οὕτω· ἄλεϝ-ρον-ἄλευρον καὶ ἄλειαρ, μετὰ μ, μάλευρον, ὡς ἐν τῷ λατιν. molere, mola, molitum, γερμ. malmen, mahlen, Mahl, Mehl, ἄλευρον. Ὥστε ἄλευρόν ἐστιν ἐν γένει μὲν πᾶν τὸ ἀληλεσμένον, ἀλλʼ ἰδίως σῖτος, ὡς παρὰ Θουκυδίδῃ 4, 26 „σῖτος ἀληλεσμένος“. Διὸ πάντοτε περὶ μὲν σίτου λέγεται ἀλεῖν, περὶ δὲ κριθῶν καὶ ὀσπρίων ἀντιθέτως ἐρείκειν,

κόπτειν χονδρῶς, schroten, καὶ τὰ ἄλφιτα κριθαὶ ἐρηριγμέναι εἰσί, ἅπερ ἄλλως ἀπὸ τοῦ ἄγνυσθαι λέγονται καὶ ἀκτή, ἤτοι θρύμμα κριθῶν, ὡς: „ἀλφίτου ἱεροῦ ἀκτήν“, Ἰλ. Λ, 631, Ν, 322· „μυληφάτου (μυλοεργοῦς) ἀλφίτου ἀκτῆς“, Ὀδ. β, 355. Σημειωτέον δὲ ὅτι διὰ τοῦ ἀκτὴ δηλοῦται καὶ ὁ καρπὸς τῆς Δήμητρος, ἢ ὁ στάχυς, ὡς ἐν Ἡσιόδ. Ἔργ. καὶ Ἡμ. 32 καὶ 466: „βρίθειν Δημήτερος ἱερὸν ἀκτήν“· διὸ καὶ ἄλλοι ἐτυμολογοῦσι τὸ ἀκτὴ ἐκ ῥίζης ακ (ἄκρα)· „ἀκ-μάζει γὰρ ὁ στάχυς“.

§ 8. Τὰ δὲ ἄλφιτα, ἐκ κριθῶν γινόμενα*), εἰσὶ μὲν ἄλευρα καὶ ταῦτα, ἐν τῇ εὐρυτέρᾳ σημασίᾳ τῆς λέξεως, Gerstenmehl, Mehl· διαφέρουσιν ὅμως κατά τε τὸν τρόπον τῆς παρασκευῆς αὐτῶν καὶ τὴν οὐσίαν αὐτὴν τῶν ἀπὸ τοῦ σίτου σκευαζομένων ἀλεύρων, Weizenmehl· πρῶτον μὲν ταῦτα κόπτονται χονδρά, καὶ οὐκ ἀλοῦνται ὡς ἄλευρα σίτου, καθ' ἅπερ ἀνωτέρω εἴπομεν, δι' ὅπερ καὶ κριθαὶ ἐρηριγμέναι λέγονται, Gerstenschrot, ἄλλως· ἔπειτα δὲ παρέχουσι τροφήν, οἷα ἡ φύσις τῆς κριθῆς, ἁδροτέραν καὶ ἡρωϊκωτέραν, ἐν ἀντιθέσει πρὸς τὴν τοῦ σίτου, ἁβροτέραν καὶ εὐγενεστέραν οὖσαν. Ὅθεν καὶ ὁ ποιητὴς ὀνομάζει μὲν ἄλφιτα καὶ ἄλευρα „μυελὸν ἀνδρῶν“ ἀμφότερα, φαίνονται ὅμως αὐτῷ ἡρωϊκώτερα τὰ ἄλφιτα, δι' ὧν κυρίως τρέφει τοὺς ἑαυτοῦ ἥρωας· ἀλλὰ καὶ ὁ σῖτος, ὁ πυρός, ἢ ὁ ἐξ αὐτοῦ ἄρτος, τὰ πύρνα, ἡγεμονικὴ ὄντως τροφή, παρατίθενται ὑπὸ τοῦ ποιητοῦ τραπέζαις βασιλικαῖς εὐξέστοις, αἵτινες

„σίτου καὶ κρειῶν ἠδ' οἴνου βεβρίθασι“,

Ὀδ. ο, 334. Ἐν Πύλῳ δὲ παρὰ Νέστορι τῷ Τηλεμάχῳ

. . . . γυνὴ ταμίη σῖτον καὶ οἶνον ἔθηκεν
ὄψα τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες“,

---

*) Ἐν Ἡροδ. 8, 119, περὶ Θρᾳκῶν προκειμένου τοῦ λόγου, φερονται ἄλφιτα ἐκ σίτου, οὕτω: „δασάμενοι σῖτον ἐν τῇσι πόλισι οἱ ἀστοί, ἄλευρά τε καὶ ἄλφιτα ἐποίευν πάντες ἐπὶ μῆνας συχνούς“, ἐκτὸς ἂν διὰ τοῦ „σῖτον“ ἐννοῶνται σιτηρά, ἐν οἷς καὶ αἱ κριθαί, ἢ διὰ τοῦ „ἄλφιτα“ χόνδροι ἐκ σίτου.

Ὀδ. γ, 479. Ἐν δὲ τοῖς μεγάροις Ὀδυσσέως „πύρνα κατὰ μνηστῆρας“ ἀγείρονται, Ὀδ. ρ, 362, καὶ ἐν ο, 312, ὁ Ὀδυσσεὺς κατὰ πόλιν Ἰθάκην

„πλάγξεται, αἴ κέν τις κοτύλην καὶ πύρνον ὀρέξῃ“.

ΚΕΦΑΛΑΙΟΝ V.

Ἄρτος καὶ μᾶζα.

§ 1. Ἄρτος (ἀπὸ τοῦ αἴρομαι, ἀρ-τός, ἄρτος) παρὰ τοῖς ἀρχαίοις λέγεται καὶ ἐννοεῖται κατ᾽ ἐξοχὴν μόνον ὁ ἀπὸ τῶν ἀλεύρων σίτου ἐσκευασμένος ἄρτος, Weizenbrot. Ἐν πρώτοις παρ᾽ Ὁμήρῳ ῥητῶς ἀπαντᾷ ὁ τοιοῦτος ἄρτος δίς, ἐν Ὀδ. ρ, 343, „Τηλέμαχος . . . ἄρτον τ᾽ οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο“, καὶ ἐν σ, 120 „ἄρτους ἐκ κανέοιο δύω παρέθηκεν ἀείρας“. Ἔτι δὲ ὁ αὐτὸς ἄρτος, ὁ σίτινος, δηλοῦται καὶ διὰ τοῦ πύρνον, πύρνα, ὡς ἐν Ὀδ. ο, 312, καὶ ἐν ρ, 362. Ἡ δὲ λέξις πύρνον κυρίως ἐστὶ πύρινον, πύρινος, ὅ ἐστιν, ὁ ἐκ πυροῦ, σίτου. πύρινος (ἄρτος), πύρινον (ἔδεσμα)· οὐσ. τὸ πύρνον, „τὸν ἐκ πυρῶν ἀσήστων γινόμενον ἄρτον καὶ πάντα ἐν ἑαυτῷ ἔχοντα“ (καὶ τὰ πίτυρα), Φιλήμ. ἐν Ἀθην. 3, 114. Ἔπειτα παρὰ τοῖς πεζοῖς ὡσαύτως, Ἡρ. 5, 92, Πλάτ. Πολ. 2, σελ. 372: „ἐκ μὲν τῶν κριθῶν ἄλφιτα σκευαζόμενοι, ἐκ δὲ τῶν πυρῶν ἄλευρα, τὰ μὲν πέψαντες, τὰ δὲ μάξαντες, μάζας γενναίους καὶ ἄρτους“· ἐν Ξεν. Ἀπομν. 2, 7, 5 καὶ Ἀναβ. 5, 4 „θησαυροὺς ἄρτων νενημένων“ (σεσωρευμένων). Διακρίνεται δὲ ἄλλως ὁ ἄρτος ὁ γινόμενος ἀπὸ τῶν λοιπῶν σιτηρῶν εἰδῶν, ὡς παρ᾽ Ἡρ. 2, 77: „ἐκ τῶν ὀλυρέων ποιεῦνται ἄρτους“, ἤτοι ὀλύρινος, ὀλυρίτης ἄρτος· ὡσαύτως κρίθινος ἄρτος ἢ ἀπὸ κριθῶν, καὶ καχρυδίας ὁ ἐκ χόνδρων κριθῆς πεφρυγμένης*).

---

*) α΄. Ὡς πάντες οἱ Δημήτριοι καρποί, ἐξ ὧν ἄρτος γίνεται, τῷ τοῦ σίτου ὀνόματι περιληφθέντες, καλοῦνται ἐν γένει καὶ σῖτος·

§ 2. *Κατὰ δὲ τὸ ποιὸν αὐτὸ τῆς ὕλης, τὸν τρόπον τῆς παρασκευῆς καὶ τῆς ὀπτήσεως διακρίνονται καὶ διάφορα*

σιτικοὶ καρποί, οὕτω καὶ ὁ ἐξ αὐτῶν γινόμενος ἄρτος γενικώτερον δηλοῦται καὶ διὰ τοῦ ὀνόματος σῖτος, panis, *οἷον τὸ ἐν τῇ νῦν συνηθείᾳ ψωμίον, ἢ ἄλλως, ὡς λέγουσιν οἱ γραμματικοί, διὰ τῆς ὕλης δηλοῦται τὸ ἐξ αὐτῆς ποιούμενον, ἢ ἡ ὕλη κεῖται ἀντὶ τῶν ἐξ αὐτῆς· καταδείκνυται δὲ τοῦτο ἐν τοῖς ἑξῆς χωρίοις: „παρὰ δὲ πλήθωσι τράπεζαι σίτου καὶ κρειῶν", Ὀδ. ι,* 8· *„Πάτροκλος μὲν σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ", Ἰλ. I,* 216· *„μοῖραν ἑλὼν ἐτίθει κανέου τ᾽ ἐκ σῖτον ἀείρας", Ὀδ. σ,* 120· *„σῖτον ἔδοντες" βροτοί, Ὀδ. ι,* 222· *„οὐδέ τι σῖτον ἤσθιον", Ἡσ. Ἔργ. καὶ Ἡμ.* 145· *„ὃς θνητός τ᾽ εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν", Ἰλ. N,* 322· *„ἐσθίουσι πάντες ἐπὶ τῷ σίτῳ ὄψον", Ξεν. Ἀπομν.* 3, 14, 2· *„ἐπεσθίειν μικρῷ σίτῳ πολὺ ὄψον", αὐτόθι* 3, 14, 3· *ὡσαύτως καὶ σιτεῖσθαι ἰδίως σημαίνει σῖτον, ἤτοι ἄρτον ἐσθίειν, πολλάκις παρ᾽ Ἡροδότῳ, ὡς: „σῖτον καὶ σπείρουσι καὶ σιτέονται", Ἡρ.* 4, 17 *καὶ ἐν* 4, (108, 109) *„σιτοφάγοι" Γελωνοὶ (Σκύθαι) „τὸ ἀρχαῖον Ἕλληνες . . . . καὶ γλώσσῃ τὰ μὲν Σκυθικῇ, τὰ δὲ Ἑλληνικῇ χρέωνται". Ἐκ τῶν παρατεθέντων παραδειγμάτων, φρονοῦμεν, ἱκανῶς ἐδείχθη τὸ ἐπὶ πάντα ἄρτον εὐρὺ κράτος τοῦ σίτου.*

β'. Ἔπειτα δὲ ἀπὸ τῆς εἰδικῆς ἐννοίας τῆς τοῦ ἄρτου ὁ σῖτος ἐκτήσατο ἀπεριόριστον ἐξουσίαν καὶ σημασίαν, περιλαβὼν τῷ ἑαυτοῦ ὀνόματι, εἰ μὴ πράγματι, καὶ πᾶσαν ἄλλην τροφὴν ἀδιακρίτως οὐ μόνον ἀπὸ σίτου γινομένην, ἀλλὰ καὶ ἐξ οἱασδήποτε ὕλης, ὁπότε παρὰ τοῖς ἀρχαίοις διὰ τῶν σῖτος, σιτία, σῖτα γενικῶς δηλοῦνται αἱ τροφαί, cibus, victus, *τὰ ἐπιτήδεια, πολλάκις ἐν ἀντιθέσει πρὸς τὸ μέθυ, τὰ ποτά· ἐν τῇ αὐτῇ δὲ ἐννοίᾳ τῇ τῆς τροφῆς λέγονται καὶ τὰ σιτεῖν, σιτίζειν, σιτεύειν μέσ. καὶ παθητ. = σῖτον, τροφὴν αἱρεῖσθαι, τρώγειν, τρέφειν,* sumere cibum, edere, cibare, *καὶ δὴ καὶ ἐπὶ πνευματικῆς τροφῆς ἐνίοτε, οὕτω: „οἶνον μὲν γὰρ ἔπινε καθήμενος . . . σίτου δ᾽ οὐκέτ᾽ ἔφη πεινήμεναι", Ὀδ. υ,* 136· *„πόρον δέ οἱ . . . σῖτον καὶ μέθυ ἡδύ", Ὀδ. δ,* 745· *„ἥ μοι σῖτον ἔδωκεν ἅλις ἠδ᾽ αἴθοπα οἶνον", Ὀδ. η,* 295· *„ἀνέμισγε δὲ σίτῳ φάρμακα λυγρά", κ,* 235, *ἔνθα αὐτὸ τὸ ποτὸν ὁ κυκεὼν καλεῖται σῖτος· „κλίσιον . . . ἐν τῷ σιτέσκοντο", ω,* 209· *„νωμῶντες (σκοποῦντες) τοὺς Δαρείου σῖτα ἀναιρεομένους", Ἡρ.* 4, 128· *„σῖτα καὶ ποτὰ ἐσάξαντο (οἱ Νάξιοι) ὡς πολιορκησόμενοι", Ἡρ.* 5, 34, *καὶ ἐν* 2, 36 *„Αἰγύπτιοι ἀπὸ ὀλυρέων ποιεῦνται σιτία"· „σιτία τριῶν ἡμερῶν", Ἀριστοφ. Ἀχ.* 197· *„σοφίαν σιτήσομαι" Νεφ.* 483· *„ἐν Πρυτανείῳ σιτεῖσθαι", Πλάτ. ἀπολ.* 36· *„λοῦσθαι καὶ σι-*

εἴδη ἄρτων, ἅπερ ἡ ἀρχαία σιτοποιΐα παρῆγεν. Τῶν προϊόντων τούτων τῆς ἀρχαίας τέχνης παρατίθενται κατωτέρω εἴδη τινὰ ἐκ τῶν συνηθεστέρων καὶ σπουδαιοτέρων. Πρὸς παραγωγὴν ἄρτου τὰ ἄλευρα προηγουμένως ἐσήθοντο ἢ οὔ, κατὰ τὸ ποιὸν τοῦ παραχθησομένου ἄρτου, διὰ πυκνοτέρου ἢ ἀραιοτέρου σήστρου, οἷα ἦν ἡ κρησέρα (νῦν κρησάρα) ἐξ ἐρίου, ἡ ἀλευρότησις ἢ τηλία, κόσκινα πρὸς λεπτοτέραν χρῆσιν, καὶ ἄλλα· εἶτα τὰ ἄλευρα δευόμενα ὕδατι θερμῷ ἐν τῇ μάκτρᾳ (σκάφῃ), ἐμάττοντο ἢ ἐφυρῶντο· ἀπὸ δὲ τοῦ φυράματος, γινομένου πηκτοτέρου ἢ ῥευστοτέρου, ἐπέττοντο, ἐπλάττοντο ἄρτοι διάφοροι καὶ ποικίλοι κατὰ τὴν ποιότητα τῆς ὕλης, τὴν ἐργασίαν αὐτήν, τὸ σχῆμα καὶ τὸν τρόπον τῆς ὀπτήσεως, ἐξ ὧν καταλέγονται ὧδε τὰ σπουδαιότερα καὶ συνηθέστερα εἴδη.

§ 3. Ὁ σητάνειος, ἄρτος ὑπέροχος, λευκός, ἁγνός καὶ ἁβρός, Σχολ. Ἀριστοφ. Νεφ. 626, Πλουτ. Ἠθ. σ. 466d, Γεωπ. 3, 3, 11, γινόμενος ἀπὸ λεπτῶν καὶ καθαρωτάτων ἀλεύρων, σητανείων· ἦσαν δὲ ταῦτα λίαν σεσησμένα, ἐξ οὗ πιθανὸν καὶ τὸ ὄνομα σητάνειος ἐκ τοῦ σήθειν, σήθανον (σῆστρον), οἱονεὶ σηθάνειος-σητάνειος τροπῇ τοῦ θ εἰς τ· διότι καὶ νῦν ἐν τῇ δημώδει φωνῇ τὸ πυκνὸν κόσκινον ἰδίως διὰ τὰ λεπτότερα ἄλευρα ὀνομάζεται πυκνάδα καὶ σῆτα, ὅπερ πιθανῶς ἐσχηματίσθη ἀπὸ τοῦ σήθω-σῆθα-σῆτα τροπῇ τοῦ θ εἰς τ, ἐξ οὗ καὶ ῥῆμα σητίζω. Παρὰ Θεοφρ. ἀπαντᾷ

τεῖσθαι", Νόμ. 12, 942· „οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους", Αἰσχ. Ἀγ. 1656· „ὡς σιτοῖτο σίτοις", Ξεν. Κύρ. 8, 2, 3· „κύνας ἀλλοτρίας σιτίζειν", Ἰσοκρ. 1, 29· „κτήνεα σιτεύεσκον", Ἡρ. 7, 119· „οὐδὲν ἄλλο σιτέονται, εἰ μὴ ἰχθῦς μοῦνον", Ἡρ. 1, 200, περὶ Βαβυλωνίων· „ἔχει δὲ τὸ σῶμα οὐ μίαν νηδύν, ἀλλὰ πλείους· δύο μὲν γὰρ αἱ τὸν σῖτον δεχόμεναί τε καὶ ἀφιεῖσαι" . . . Ἱπποκρ. 6, 17. Καὶ ἐν συνθέσει ὡσαύτως, παράσιτος, ἄσιτος, συσσίτια, σιτοποιός, σιτευτός· ἔτι δὲ ἀρτοσιτεῖν, ἀλφιτοσιτεῖν, παρασιτεῖν. Ἐν δὲ τῇ νῦν συνηθείᾳ ἐπίσης λέγεται ἀντὶ σιτίζω κλπ. ψωμίζω, ψωμίζομαι, πολλάκις περιφρονητικῶς περὶ παρασίτων ἀνθρώπων, ψωμοκολάκων, καὶ τρέφω, λεγόμενον καὶ περὶ οἰκοσίτων ζώων, ὡς θρεφτὰ ζῶα, τὰ θρεπτά, σιτευτά, οἷα χοῖροι „θαλέθοντες ἀλοιφῇ".

„σητάνειος πυρός“, ἤτοι πυρὸς ἁρμόδιος εἰς σκευασίαν σ. ἀλεύρων, καὶ „σητάνεια μῆλα“, Ἀθήν. 2, 81· κατ' ἄλλους δὲ ἐτυμολ. ἐκ τοῦ σῆτες (τῆτες) = ἐφέτος, σητάνειος = ἐφετεινός;. Ὁ κρησερίτης, γινόμενος ἐκ λεπτοτάτων ἀλεύρων κρησεριστῶν, Δίφιλ. ἐν Ἀθήν. 3, 111. Τὰ νῦν λέγεται κρησαριστὸ ψωμί, ἔτι δὲ καὶ ἑφτακλήσαρο ψωμί, ἤτοι ἑπτακρήσερος ἄρτος, γινόμενος ἐξ ἀλεύρων, ἑπτάκις κρησερισθέντων, ὅ ἐστι λεπτοτάτων, καθαρωτάτων, ἀντιστοιχῶν πρὸς τὸν ἀρχαῖον σητάνειον. Οἱ σεμιδαλῖται ἐκ σεμιδάλεως, Τρυφ. ἐν Ἀθην. 3, 109, καὶ οἱ γυρῖται ἄρτοι ἐκ γύρεως, αὐτόθι 3, 115.

Ὁ αὐτόπυρος ἄρτος, Ἄλεξ. ἐν Ἀθην. 3, 110, ἐξ ἀσήστων ἀλεύρων γινόμενος, „μέσος τοῦ τε καθαροῦ καὶ τοῦ πιτυρίτου καλουμένου“, Γαλην· „λιτὸς καὶ σχεδίως ὠπτημένος ἢ πρὸς ἥλιον ἢ πρὸς τῇ σποδιᾷ, ὃν καὶ ἐγκρυφίαν φαμέν“, Σουΐδ. Οἱ τοιοῦτοι ἄρτοι ὡς εὐτελέστεροι ἠσθίοντο ὑπὸ τοῦ λαοῦ, καλούμενοι καὶ δωρικοὶ διὰ τὴν δωρικὴν αὐτῶν λιτότητα· ἐθεωροῦντο ὅμως τροφιμώτεροι τῶν καθαρῶν, ὡς περιέχοντες καὶ τὰ πίτυρα. Τοιοῦτοι δὲ ἄρτοι φαίνεται, ὅτι ἦσαν καὶ τὰ Ὁμηρικὰ πύρνα, περὶ ὧν ἔμπροσθεν ἐν σ. 31, § 1 εἴρηται. Ὅλως ἀντίθετοι τῶν ἀνωτέρω ἄρτων ἦσαν οἱ πιτυρίαι ἢ πιτυρῖται, ἀπὸ πιτύρων γινόμενοι, Πολυδ. 6, 72, Ἀθήν. 3, 114. οἱ καχρυδίαι, ἐκ καχρύων κριθῶν γινόμενοι, Πολυδ. 6, 33, 72, ἦσαν εὔωνοι καὶ θρεπτικοὶ ἄρτοι, νομιζόμενοι καὶ πρόξενοι ὀξυδερκείας καὶ ἐσθιόμενοι ὑπὸ δούλων. οἱ χονδρῖται, ἐκ χόνδρων ἐσκευασμένοι ἢ ἐκ ζειῶν, Ἀθήν. 3, (109, 115), καὶ χονδρίλος ἢ χονδρίβος, ἄρτος χονδρός, Ἀρχέστρ. ἐν Ἀθην. 3, 112.

Ὁ ὀβελίας ἢ ὀβελίτης „κεκλημένος οὕτως ἤτοι ὅτι ὀβολοῦ πιπράσκεται, ὡς ἐν Ἀλεξανδρείᾳ, ἢ ὅτι ἐν ὀβελίσκοις ὀπτᾶται“, Ἀθήν. 3, 111· κατὰ δὲ Φώτιον „ἦν οὗτος περιπεπλασμένος μακρῷ ξύλῳ, καὶ οὕτως ὀπτώμενος γίνεται ἐπιμήκης καὶ γαστρώδης“. ὁ κριβανίτης (ἀττ.) ἐν κριβάνῳ ὀπτώμενος, Ἀριστφ. Ἀχ. 1088· ὁ αὐτὸς καὶ κλιβανίτης, Δίφιλ. ἐν Ἀθην. 3, 116, διότι κλίβανος (δωρ.) = κρί-

βανος. ὁ ἰπνίτης ἄρτος, διαστελλόμενος ἐν Γαληνῷ οὕτω: „καὶ καλῶς ὠπτημένος ὁ ἄρτος ἔσται, κριβανίτης, οὐκ ἰπνίτης“, καίτοι Ἀντιφάν. ἐν Ἀθην. χρῆται, κλίβανος = ἰπνός, furnus, ὀπτανεῖον. Ὁ ὀβελίας καὶ κριβανίτης, κλιβανίτης ἢ ἰπνίτης ὑπερεῖχον τὴν ὄπτησιν πάντων, ὡς „εὔπεπτοι καὶ εὔχυλοι καὶ ῥᾷστοι πρὸς ἀνάδοσιν, ὡς οὔτε ἱστάνοντες κοιλίαν οὔτε παρατείνοντες“, Γαλην. τ. 6, 416.

Οἱ σποδῖται ἢ ἐγκρυφίαι ἄρτοι, οἳ θερμῇ σποδῷ θαπτόμενοι ὠπτῶντο, Δίφιλ. ἐν Ἀθην. 3, 111. οἱ ἀποπυρίαι ἐπ' ἀνθράκων ὀπτώμενοι. αἱ κολλῦραι (collyra), νῦν κολλοῦραι, ἦσαν χονδρῖται ἄρτοι, Ἀριστφ. Εἰρ. 123, Ἀθήν. 3, 111. ὁ κριμνατίας, Ἀθήν. 3, 112, ἄρτος ὡς κόλλιξ γινόμενος ἐκ κρίμνων, χόνδρων κριθῆς. οἱ κόλλικες, νῦν κολλίκια, κρίθινοι ἄρτοι ᾠοειδεῖς, Ἀθήν. 7, 304, ἢ καὶ πλακούντια στρογγύλα, ὅμοια τοῖς νῦν Πασχαλίοις κολλικίοις, παρ' Ἀριστοφ. Βατρ. 575. οἱ κόλλαβοι, ἄρτοι ἢ πλακοῦντες ἐκ πυρῶν, Ἀριστοφ. Εἰρ. 1162. οἱ ἐσχαρῖται, ὀπτώμενοι ἐν ἐσχάρᾳ, Ἀθήν. 3, 109 „μεθόριοι ἄρτου καὶ πλακοῦντος“, Πολυδ. 6, 78. οἱ καμινῖται, Ἀθήν. 3, 115. ὁ ναστός (στερεῶς, πηκτῶς πεφυρμένος) μέγας πλακουντώδης ἄρτος, ζυμίτης, Ἀθήν. 3, 111. οἱ δίπυροι ἢ διπυρῖται, ὡς νῦν δίπυρα, Εὔβουλ. ἐν Ἀθην. 3, 110, Πολυδ. 7, 23. οἱ βλωμιαῖοι (βλωμός, ψωμίον, Ἡσύχ.), Ἀθήν. 3, 114. ὁ ὀκτάβλωμος ἄρτος τετράτρυφος, Ἡσ. Ἔργ. καὶ Ἡμ. 442, ἄρτος τετράγωνος καὶ διὰ τεσσάρων διαγωνίων εἰς ὀκτὼ μέρη διῃρημένος· τὸ δὲ τετράτρυφος, ἐκ τοῦ τρύφος (θρύπτειν), κλάσμα, ἀναφέρεται εἰς τὴν τομὴν ἅμα καὶ εἰς τὸ θλίβεσθαι καὶ φυρᾶσθαι τὸν ἄρτον. Τοσαῦτα ἐκ τῶν πολλῶν εἰδῶν. Ἡ δὲ τοῦ ἄρτου καὶ τῆς μάζης δότειρα θεὰ Δημήτηρ ἐκαλεῖτο μεγάλαρτος καὶ μεγαλόμαζος, Ἀθήν. 10, 9 καὶ 3, 109.

§ 4. Ἡ ζύμη, ζύμωμα, fermentum, φαίνεται, ὅτι βραδύτερον ἐκ τῆς Ἀνατολῆς εἰσήχθη εἰς τὴν Ἑλλάδα· παρ' Ὁμήρῳ καὶ Ἡσιόδῳ τοὐλάχιστον ἄρτοι ἐζυμωμένοι οὐδαμοῦ ἀπαντῶσι, γνωρίζεται δὲ αὕτη ἐν Ἑλλάδι πιθανώτερον ἀπὸ

τῶν περσικῶν πολέμων, εἰ καὶ παρὰ Φιλοστράτῳ Εἰκόν. 2, 26, *σ,* 430, 1 Kayser, *μνημονεύεται: „ζυμίτας ἄρτους — ἢ ὀκταβλώμους". Τὸ ζυμοῦν, ἡ ζύμωσις τοῦ ἄρτου ἀπαντᾷ παρ' Ἱπποκρ., ὡς ἐν σελ.* 394, 37, *ἐν Πλάτ. Τιμ.* 74· *ὑπὸ δὲ τοῦ Ἀριστοτέλους, περὶ γεν. Ζ.* 3, 4, *ὁρίζεται οὑτωσὶν ἡ ἰδιότης τῆς ζύμης: „ἡ ζύμη ἐκ μικρᾶς μεγάλη γίνεται, τοῦ μὲν στερεωτέρου ὑγραινομένου, τοῦ δ' ὑγροῦ πνευματουμένου"· ὡσαύτως ἐν τῷ Ἰ. Εὐαγγελίῳ: „Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς σάτα (μέτρον σιτικὸν) τρία, ἕως οὗ ἐζυμώθη ὅλον", Ματθ. ιγ'.* 33|· *καὶ μεταφορ., ὡς περὶ τῆς διεστραμμένης διδασκαλίας τῶν Φαρισαίων: „προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων", Ματθ. ιστ'.* 6. *Τῶν μνημονευθέντων τοίνυν ἀνωτέρω ἀρχαίων ἄρτων οἱ μὲν πολλοὶ οὐκ ἐξυμωμένοι εἰσί, καὶ καλοῦνται ἄζυμοι, ὡς ἐν Ἀθην.* 3, 109, *τῆς χρήσεως τῆς ζύμης σπανιωτέρας οὔσης τοῖς παλαιοῖς ἀντιθέτως πρὸς ἡμᾶς νῦν, οἱ δὲ ἐξυμωμένοι ἔνζυμοι, ζυμῖται, ζυμήεντες, ζυμωτοί,* fermentati.

Νῦν ἐν τῇ δημώδει φωνῇ τοῦ Ἑλληνικοῦ τὴν παλαιὰν ζύμην δηλοῖ κάλλιστα ἡ λέξις προζύμι(ον), der Sauerteig, *τὸ δὲ φύραμα αὐτό, εἴτε ἐζυμωμένον εἴτε μή, καλεῖται ζυμάρι(ον),* der Teig, *ὡς καὶ τὸ φυρᾶν τὰ ὕδατι δεδευμένα ἄλευρα λέγεται ζυμώνειν ἀπὸ τοῦ ζυμοῦν, ἐν τῇ σημασίᾳ τοῦ φυρᾶν λαμβανομένου, καὶ ζυμαρικά = τὰ πέμματα, πλακοῦντες (πῆτται). Πρὸς δήλωσιν δὲ τοῦ παρὰ τοῖς ἀρχαίοις ζυμοῦν, πνευματοῦν,* säuern, *ὁ λαὸς λέγει ἀναβαίνειν = ὑψοῦσθαι, πνευματοῦσθαι (τὸ φύραμα), ζυμοῦσθαι· οὕτω π. χ. „ἀναιβαίνει τὸ ζυμάρι" (φύραμα), „ἀνέβηκε τὸ ψωμι", ἔνθα ψωμὶ λέγονται οἱ πρὸς ἀναζύμωσιν ἄρτοι· ὀρθῶς δ' οὕτως ὀνομάζονται ψωμία καὶ πλαστὰ οἱ πρὸς ὄπτησιν ἕτοιμοι ἄρτοι. Ἐντεῦθεν δὲ καὶ οἱ ζυμῖται ἄρτοι καλοῦνται ἀπὸ τοῦ ἀναιβαίνειν ἀναιβατοί, ἀναιβατὸ(ν) ψωμί(ον)· ἡ δὲ λέξις ἀναιβατὸς ἐσχηματίσθη ὡς τὸ ἀρχαῖον καταιβτός, καταιβάτης πιθανώτερον ἢ ὡς τὸ κατ' ἄλλους ἀνεβατός ἀπὸ τοῦ ἀνέβην-ἀνεβαίνω. Οἱ δὲ ἄζυμοι ἄρτοι καλοῦνται λειψοί, ὅ ἐστιν ἐλλιπεῖς ζύμης, ἀζύμωτοι, ὡς καὶ πᾶν τὸ*

ἐλλιπὲς λειψόν· ἄρτοι δὲ λειψαναίβατοι ὀνομάζονται οἱ ὀπτηθέντες ἀπὸ φυράματος οὐ καλῶς, ὡς δεῖ, ἀναβάντος, ζυμωθέντος, καί εἰσιν οἱονεὶ μεθόριοι ἐνζύμου καὶ ἀζύμου ἄρτου. Καὶ τοσαῦτα μὲν περὶ ἄρτου. Περὶ δὲ μάζης καὶ δὴ λεκτέον.

§ 5. Ἡ μᾶζα ᾄδεται πρῶτον ὑπὸ Ἡσιόδ. ἐν Ἐργ. καὶ Ἡμ. 590: „μᾶζα ἀμολγαίη". Παρ' Ὁμήρῳ δὲ οὐδαμοῦ Ἰλ. καὶ Ὀδυσ. ῥητῶς ἀπαντῶσα ἡ μᾶζα, δηλοῦται πάντως αὕτη διὰ τῶν ἀλφίτων, ὡς ὁ ἄρτος διὰ τοῦ σίτου, διότι οὕτως ὁ ποιητής, νομίζομεν, ἀπαλλάττων τῶν πραγμάτων τῆς μάζης τοὺς ἥρωας αὐτοῦ ἁπλούστερον, ἡρωϊκώτερον τὸν βίον αὐτῶν ποιεῖ φαίνεσθαι διὰ τῶν ἀλφίτων, ὡς ἀπήλλαξεν αὐτοὺς καὶ ἄλλων περιέργων βρωμάτων ἑφθῶν καὶ τῶν ἰχθύων, καὶ κατὰ Πλούταρχον: „Ὅμηρος οὐ μόνον τοὺς Ἕλληνας ἰχθύων ἀπεχομένους πεποίηκε περὶ τὸν Ἑλλήσποντον στρατευομένους, ἀλλ' οὐδὲ τοῖς ἁβροβίοις Φαίαξιν, οὐδὲ τοῖς ἀσώτοις μνηστῆρσιν, ἀμφοτέροις οὖσι νησιώταις, θαλάττιον ὄψον παρέθηκεν", Πλουτ. Ἠθ. σ. 353. Ἐν τούτοις ἐκ τῶν ἀλφίτων ἀναδευομένων φαίνεται εἶδός τι πόλτου γινόμενον, ποιά τις μᾶζα, ὡς βλέπομεν καὶ ἐν Ἰλ. Σ, 558, κατὰ τὸ Ὁμηρικὸν δεῖπνον ἐκ παλυνομένων ἀλφίτων:

„Κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο,
βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες
δεῖπνον ἐρίθοισιν λεύκ' ἄλφιτα πολλὰ πάλυνον".

Ἀλλὰ καὶ παρὰ Ξενοφῶντι ἀλφιτοσιτεῖν = μᾶζαν ἐσθίειν: „ὅστις ἀλφιτοσιτεῖ ὕδατι μεμιγμένην ἀεὶ τὴν μᾶζαν ἐσθίει", Κύρ. 6, 2, 28. Ἦν δὲ ἡ μᾶζα κοινὴ καὶ δημοτική τις τροφὴ τῶν Ἑλλήνων, γενναία τροφή, δι' ἧς καὶ οἱ τῆς Πλάτωνος Πολιτείας ἄνδρες τρέφονται „ἐκ μὲν τῶν κριθῶν ἄλφιτα σκευαζόμενοι, ἐκ δὲ τῶν πυρῶν ἄλευρα, τὰ μὲν πέψαντες, τὰ δὲ μάξαντες, μάζας γενναίους καί ἄρτους", Πλ. Πολ. 2, 372.

Περὶ δὲ τοῦ τρόπου τῆς παρασκευῆς αὐτῆς παρατηροῦμεν, ὅτι ἦν ἁπλούστατος κατ' ἀρχάς· ἀπὸ τῶν ἀλφίτων, μασσομένων ἐν μάκτρᾳ ποτὲ μὲν μεθ' ὕδατος ἢ μεθ'

ὑδρομέλιτος, ποτὲ δὲ μεθ' ὕδατος καὶ οἴνου, μετ' ἐλαίου καὶ ὀξυμέλιτος ἢ ὀξυκράτου, ἐγίνετο φύραμα πυκνόν, πηκτόν, Ἀθήν. 14, 663, Ἡσύχ., Ἐρωτιαν. σ. 248, Σουΐδ., Σχολ. Θεόκρ. 4, 34. Τὸ δ' οὕτω γινόμενον ἐν τῇ μάκτρᾳ φύραμα ἐχωρίζετο ἔπειτα ὑπό τινα τύπον εἰς μάζας, συνήθως στρογγύλας, ὡς παρ' Ἀριστοφ. Εἰρ. 28 „γογγύλας μάζας, δι' ὅλης ἡμέρας τετριμμένας καὶ μεμαγμένας" ἃς ξηραινομένας, ἤσθιον ὕθατι δεδευμένας. Ἡ δὲ λέξις μᾶζα, δωρ. μάδδα, παρὰ τὸ μάσσω, μάττω (φύρω), σημαίνει τὸ μεμαγμένον, μάγμα, φύραμα· συνήθως ἀπαντᾷ „μάττειν μᾶζαν, ἄλφιτα, ἄλευρα", μέσ. καὶ παθ. ὡς „μαζίσκας διαμεμαγμένας", Ἀριστφ. Ἱππ. 1104· παρὰ δὲ Ἡρ. 1, 200 εὑρίσμομεν μᾶζαν ἐξ ἰχθύων μεμαγμένην, περὶ οὗ ἴδε ἐν κεφ. IV, § 1. Ὁ δὲ τὸ περίεργον τοῦτο· ὅτι ἡ νῦν κοινὴ συνήθεια, καίτοι μᾶζαν ἀρχαίαν οὐ μάττεται, ὅμως ἀπὸ τῆς λέξεως μᾶζα, ῥίζ. μαζ, ἐμάξαιο λέξεις, οἷαι: μαζ-ὺ ἢ μαζ-ῆ = σύν, ὁμοῦ, μαζ-εύω, μαζ-ώνω = συνάγω, συναθροίζω, καὶ συμμαζεύω, συμ-μαζώνω κλπ. ὡς τὸ παλαιὸν μαζ-άω.

§ 6. Ἀπὸ τοῦ διαφόρου τρόπου τοῦ μάττεσθαι καὶ ἀπὸ τῆς ποικίλης ἀρτύσεως διεκρίνοντο καὶ διάφορα εἴδη μάζης, τὰ μὲν θεοῖς, τὰ δὲ ἀνθρώποις ἴδια, λαμβάνοντα καὶ διάφορα ἀνόματα εἴτε ἀπὸ τοῦ σκοποῦ τῆς προσφορᾶς αὐτῶν, εἴτε ἀπὸ τοῦ σχήματος, εἴτε ἐξ ἄλλων αἰτίων. Τούτων δὲ καταλέγομέν τινα τῶν σπουδαιοτέρων καὶ συνηθεστέρων εἰδῶν, ἀρχόμενοι πρῶτον ἀπὸ τῶν ἱερῶν, ἤτοι τῶν τοῖς θεοῖς καὶ θεαῖς προσφερομένων μαζῶν ὡς ἁγνῶν θυμάτων· τοιαῦται δὲ ἦσαν ἡ ὑγίεια, ἡ σελήνη, ἡ μελιτοῦττα, ὁ ἐφίερος, Πολυδ. 6, 76, ὁ ἀρεστήρ „δι' οὗ ἔστι τοῖς θεοῖς ἀρέσασθαι, τῷ θείῳ ἀρέσκειν", Εὐστάθ. ἐν Ἰλ. σ. 600, Πολυδ. 6, 76· ὁ ἀμφιφῶν τέλος, καθ' Ἡσύχιον „προσφερόμενος τῇ Ἀρτέμιδι μετὰ δᾴδων"· κατὰ δὲ Ἐτυμ. Μέγαν ὠνομάσθη οὕτω „διὰ τὸ κύκλῳ φωτίζεσθαι ὑπὸ δᾴδων ἢ διὰ τό, πανσελήνου οὔσης, πέμπεσθαι τῇ Ἑκάτῃ· ἐγίνοντο δὲ αἱ θυσίαι αὗται, κατὰ Σουΐδαν, „Μουνυχιῶνος μηνὸς ἕκτῃ ἐπὶ δέκα, ὃς καθ' ἡμᾶς ἐστιν ἀπὸ Ἀπριλ. 25 — 23 Μαΐου· ὁ δὲ Ἀθήν. ἐκ Φιλήμον. 14, 645 λέγει περὶ τοῦ χρόνου τούτου „ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐπικαταλαμβάνειαι ἡ

σελήνη ἐπὶ ταῖς δυσμαῖς ὑπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς καὶ ὁ οὐρανὸς ἀμφιφῶς γίνεται".

Παραλείποντες τοιαύτην ἱστορικὴν περιγραφὴν περὶ ἑκάστης μάζης ἐνταῦθα, ὡς ὑπερβαίνουσαν τὰ ὅρια τοῦ προκειμένου, καταλέγομεν καὶ μάζας ὑπὸ ἀνθρώπων ἐσθιομένας· τοιαῦται δὲ ἦσαν: μᾶζα ἡ ἀμολγαία, παρὰ τὸ ἀμολγὴ γάλα) Ἡσ. Ἔργ. καὶ Ἡμ. 590, „ἡ ποιμενικὴ καὶ ἀκμαία", Ἀθήν. 3, 115· ἐν δὲ Ἀριστοφ. Πλουτ. 999 Σχολ. ἑρμηνεύει „πλακοῦς γαλακτώδης". μᾶζα μεμαγμένη, τριπτή, ἄτριπτος, ῥαντὴ ἢ ὑγρά, προφυρητή, Ἱπποκρ. ἡ χιονόχρους ἢ λευκή, ἡ κυρβαίη (ἐπιγρ. Ὁμ. 15, 6) ἡ οἰνοῦττα, ἡ θριδακίνη, ἡ πολυτελεστάτη ματτύη, ἡ φυστὴ, ἡ δενδαλίς, οἱ βήρηκες, ἡ Ἀχίλλειος, μᾶζα ὑπέροχος καὶ γενναία, γινομένη ἀπὸ τῶν λεγομένων Ἀχιλλείων κριθῶν, ὡς ἐκαλεῖτο τὸ ἔξοχον εἶδος τῶν κριθῶν καὶ ἄλλων πραγμάτων τὸ ἔξοχον ὡς ὁ Ἀχιλλεύς. Τῶν παρατεθέντων εἰδῶν τὸ μὲν πολυτελέστατον ἦν ἡ ματτὺη μᾶζα, φερώνυμος οὖσα αὕτη διὰ τὴν πολυτέλειαν ἐδέσματός τινος καλουμένου ματτύη ἢ ματύλλη, mattya, Μακεδονικοῦ, Ἀθήν. 14, 663, καὶ ἐν Πολυδ. 6, 70 „δίψους διεγερτικὸν βρῶμα, ᾧ ἐχρῶντο μοσοῦντος τοῦ πότου". Ἡ δὲ συνήθης καὶ δημοτικὴ ἦν ἡ φυστὴ ἢ φύστη μᾶζα, οὖσα „λιτὴ καὶ οὐκ εὐάλφιτος", Λεων. Ταρ. 55 (7, 736), ἁπαλῶς καὶ „μὴ ἄγαν τετριμμένη", Ἀθήν. 3, 114, Σχολ. Ἀριστοφ. Σφ. 610. Ταύτης ποιοῦνται διάκρισιν ἐν τονισμῷ, ὁ μὲν Μοῖρις λέγων: „φυστῆ, περισπωμένως, τὸ φύραμα τῶν ἀλφίτων, ὅταν μὴ γένηται μᾶζα"· ὁ δὲ Μ. Ἐτυμολόγος: „φύστη, παροξυτόνως, ἡ ἐν ταῖς σκάφαις τριβομένη καὶ ἠρέμα ἀναδευομένη μᾶζα".

Εὐνόητον δ' ὅτι τοῦ χρόνου προϊόντος καὶ μεταβάλλοντος τὰ πάντα, κατὰ τοὺς ὑστέρους χρόνους, καθ' οὓς τὴν παλαιὰν λιτότητα καὶ ἁπλότητα τοῦ βίου ἤξατο διαδεχομένη ἐν πᾶσιν ἡ πολυτέλεια καὶ ἡ τρυφή, τότε καὶ ἡ μᾶζα συγχρόνως ἤρξατο ἀποβάλλουσα τὸν καθ' Ὅμηρον ἡρωϊσμὸν αὐτῆς καὶ τὴν κατὰ Πλάτωνα γενναιότητα. ἕως οὗ ἀπὸ τροφῆς ἰσχυρᾶς, μυελοῦ ἀνδρῶν, κατέστη σιτίον ἡδυσμένον, ὅπερ μᾶζα ματτύη καὶ ἄλλοις ὀνό-

μασιν, ὅσοις καὶ ἀρτύμασι μεμαγμένον, ἐκαλεῖτο· καὶ ὑπερμαζῶντες ἐλέγοντο οἱ καθ' ὑπερβολὴν τρυφῶντες, Ἀθήν. 14, 663· ὁ δὲ κωμικὸς Ἀριστοφάνης τὴν μᾶζαν κατασκώπτων, μάττει „μᾶζαν ἐξ ὀνίδων“ (κόπρων ὄνου) ἐν Ἐκκλ. 595, Νεφ. 1431, καὶ ἐν Πλούτ. 305 κακεμφάτως ᾄδει περὶ Κίρκης, μαγίσσης,

„ἣ τοὺς ἑταίρους τοῦ Φιλωνίδου ποτ' ἐν Κορίνθῳ
ἔπεισεν ὡς ὄντας κάπρους
μεμαγμένον σκὼρ ἐσθίειν, αὐτὴ δ' ἔματτεν αὐτοῖς“...

„μεμαγμένον σκῶρ“, ἤτοι μεμαλαγμένον (ζυμωμένον) σκῶρ, μᾶζαν ἐκ κόπρου ἐσθίειν, κοπροφαγεῖν. Ἀλλὰ καὶ μεθ' ὅλην αὐτῆς ταύτην τὴν πολυτέλειαν ἡ μᾶζα πάντοτε ἔφερε τὰ δευτερεῖα καὶ ἦν „ἀγαθὴ καὶ μᾶζα μετ' ἄρτον“, Ζηνόβ. 1, 12, κατὰ τὴν παροιμίαν τὴν λεγομένην ἐπὶ τῶν τὰ δευτερεῖά τισι διδόντων. Ὁ δὲ Σόλων ὡς συνήθη μὲν σίτησιν μᾶζαν, ὡς ἑορτάσιμον δὲ καὶ πανηγυρικὴν ἄρτον ἐνομοθέτησε τοῖς δημοσίᾳ δαπάνῃ τρεφομένοις, κελεύων „τοῖς ἐν Πρυτανείῳ σιτουμένοις μᾶζαν παρέχειν, ἄρτον*) δὲ ταῖς ἑορταῖς προσπαρατιθέναι“, μιμούμενος τὸν Ὅμηρον. Καὶ γὰρ ἐκεῖνος τοὺς ἀριστεῖς συνάγων πρὸς τὸν Ἀγαμέμνονα, „φύρετο δ' ἄλφιτα „φησί“, Ἀθήν. 4, 137.

ΚΕΦΑΛΑΙΟΝ VI.

Λεπτοτέρα σιτοποιΐα, πέμματα.

§ 1. Πρὸς συμπλήρωσιν τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων περὶ τῶν προϊόντων τῆς ἀρχαίας σιτοποιΐας μετὰ τὰ ἄλευρα καὶ ἄλφιτα καταλέγομεν καὶ τὰ λεπτότερα αὐ-

*) Ἡ ἀρχαιοτάτη ὀνομασία τοῦ ἄρτου ἐστὶ βεκός ἢ τὸ βέκος παρὰ τοῖς ἀρχαιοτάτοις τῶν ἀνθρώπων Φρυξίν, οἷς τὰ πρεσβεῖα ἀμφισβητοῦντες οἱ Αἰγύπτιοι, συνεχώρησαν ἑαυτῶν πρεσβυτέρους εἶναι, ἀφ' οὗ ὁ βασιλεὺς αὐτῶν Ψαμμίτιχος ἐβεβαιώθη διὰ πειράματος περὶ τῆς ἀρχαιότητος τῶν Φρυγῶν, „οὓς οὗρισκε, πυνθανόμενος, καλέοντας τὸν ἄρτον βεκός“, Ἡρόδ. 2, 2.

τῶν εἴδη, οἷς ἐχρῶντο οἱ παλαιοὶ ἰδίως ἐν τῇ λεπτοτέρᾳ ἀρτοποιΐᾳ ἢ πεμματοποιΐᾳ. — Ἡ σεμίδαλις, simila, ἦν γνωριμωτάτη καὶ τοῖς ἀρχαίοις, Γαλην. τ. 6, 310, Ἀθήν. 3, 127. Τὸ σταίς (σταῖς), καὶ στᾶς, Ἀθήν. 3, 110, ἄλευρον λεπτότατον, γνωστὸν καὶ τοῖς Αἰγυπτίοις, οἳ „φυρῶσι τὸ μὲν σταὶς τοῖσι ποσί, τὸν δὲ πηλὸν τῇσι χερσί", Ἡρόδ. 2, 36. Ἡ γῦρις, pollen, Ἀθήν. 3, 115, τὸ λεπτότατον τοῦ ἀλεύρου μέρος, τὸ ἀποσπώμενον ὡς κόνις. Κάλλιστα νῦν τὸ τοιοῦτον λεπτότατον ἄλευρον ἐν τῇ δημώδει φωνῇ καλεῖται ἀθέρας ἐκ τοῦ ἀρχ. ἀθήρ, σημαίν. τὸ λεπτότατον, τὸ ὀξὺ ἄκρον, τὴν ἀκμήν, οἷον στάχυος, μαχαιρίου κ. λ., ἐπίσης δὲ ἀθέρα καὶ ὁ λαὸς νῦν ὀνομάζει τὴν ἀκμὴν (κόψιν) ξυροῦ, μαχαίρας κ. λ. κατ' ὀνομαστικ. ὁ ἀθέρας, ὡς πατήρ-πατέρας κ. τ. Τὸ αὐτὸ δὲ λεπτότατον ἄλευρον ἔτι ἀρχαϊκώτερον καλεῖται νῦν καὶ ἄχνη, λέξις δηλοῦσα τὸ λεπτότατον καὶ παρ' Ὁμήρῳ. — Τὸ ἄμυλον, das Kraftmehl, κατὰ Σχολ. Θεοκρ. 9, 21, παραγόμενον ἀπὸ σίτου, οὐ σεσησμένου καὶ βεβρεγμένου, εἶτα δὲ συνθλιβομένου ἐλαμβάνετο τὸ γαλακτῶδες ὑγρόν, ὅπερ μετὰ τὴν ἐν τῷ ἡλίῳ ἀποξήρανσιν ὠνομάζετο ἄμυλον, ὅ ἐστιν ἄλευρον οὐ γινόμενον ἐν τῇ μύλῃ, οὐ μυλοεργές· τὸ δὲ ἄριστον ἄμυλον ἦν τὸ Χῖον· ἄμυλον πλακοῦς, Ἀθήν. 14, 647. Ἡ πάλη ἢ παιπάλη (ἐκ τοῦ πάλλειν, σείειν, σήθειν), λεπτότατον ἄλευρον, ὡς ἡ γῦρις· οὕτω καὶ νῦν ὁ λαὸς λέγει πασπάλην τὴν ἐν τῷ μύλῳ ἐκ τῆς ἀλέσεως ἐγειρομένην κόνιν τοῦ ἀλεύρου, καὶ ἐντεῦθεν πασπαλίζω = ἐπιπάσσω. Ἡ σίλιγνις, α ληυ. τ. 6, 310, λεπτότατον ἄλευρον, γινόμενον ἀπὸ σιλιγνίου, siligo, σίτου, ὃν οἱ Ἕλληνες τὸ πρῶτον παρέλαβον παρὰ τῶν Ῥωμαίων· „σιλιγνίτης ἄρτος", panis siligneus, Γαλην. Πρὸς δὲ τούτοις ἐν τῇ πεμματοποιΐᾳ ἐγίνετο χρῆσίς τις καὶ χόνδρων σίτου ἢ ζειῶν ἰδίως, οἷον καὶ τὸ κρίμον ἢ κρίμνον, ἄλευρον χονδρῶδες ζειῶν ἢ κριθῶν, Ἀθήν. 3, 126. Πρὸς τὸν ἀρχαῖον χόνδρον ἢ far ἀντιστοιχεῖ τὸ νῦν δημοτικώτατον πληγοῦρι, (πλήττειν, πλήγ;) κοπτόμενον ἐκ σίτου ἐν χειρομύλῳ, καὶ ὁ ἐπίσης ἐκ χόνδρων σίτου γαλακτώδης τραχανᾶς. Ἡ δὲ λέξις αὕτη ἐσχηματίσθη προφανῶς ἐκ τοῦ ἀρχαίου τραγανά, τραγανόν·

διότι καὶ νῦν ὁ λαὸς λέγει τραγανὰ τὰ χονδρώδη μέρη τοῦ σώματος, οἷα ῥῖνα, ὦτα κλ., ὡς ἐν Ἀθην. 8, 347, „τῶν τραγανῶν τι ἢ χονδρῶδές τι". — Πλὴν τῶν προμνησθέντων λεπτῶν σήστρων πρὸς τὴν πλαστικὴν ταύτην τέχνην τῶν ἀρχαίων χρήσιμα σκεύη ἦσαν ἡ μάκτρα (σκάφη), ὁ πλάθανος ἢ πλάθανον, καὶ ἄλλα ἐν Ἀθην 14, 648. Νῦν πλαστήριον, τὸ ἐφ' οὗ πλάττουσιν αἱ γυναῖκες τοὺς πλακοῦντας, καὶ πλαστὴρ ἢ πλάστης, ἡ εὐθεῖα στρογγύλη ῥάβδος, δι' ἧς ἀνοίγουσι τὰ φύλλα τοῦ πλακοῦντος, ἅπερ ὀρθῶς ἡ γλῶσσα τοῦ λαοῦ καλεῖ πέτραα, ἀντὶ πέταλα (φύλλα) ἐκ τοῦ πεταννύναι, ἀνοίγειν.

§ 3. Μετὰ τὰ ἄλευρα ἄλλα πρὸς τούτοις συστατικὰ στοιχεῖα, χρησιμεύοντα πρὸς ἄρτυσιν, ἦσαν τὸ γάλα, ὁ τυρός, τὰ ᾠά, τὸ ἔλαιον, στέαρ ὕειον, ὁ δημὸς βοῶν καὶ προβάτων πλὴν βουτύρου, οὗ ἡ ἱστορία ἐν τῷ δευτέρῳ μέρει περιελήφθη, καὶ τὸ σήσαμον· ἔπειτα τῶν ὀπωρικῶν, Θάσια καὶ Ποντικὰ κάρυα καὶ ἀμύγδαλα, σταφίδες, πρὸς τούτοις τὰ ἀρωματικὰ καὶ ὀξύχυμα, ὡς τὸ ἄνηθον, τὸ μάραθρον, τὸ κύμινον, τὸ νᾶπυ (σίναπυ), τὸ πέπερι, ὁ μήκων, πεφρυγμένος καὶ τετριμμένος ἐπιμελῶς, κ. λπ. Ἀλλὰ τὸ χρησιμώτατον καὶ ἀπαραίτητον ἦν πάντοτε τὸ ἡδυντικὸν στοιχεῖον· τοιοῦτον δ' ἦν τὸ μέλι, οὗ τὸ ἄριστον εἶδος παρήγετο ἐν Ἀττικῇ ἀπὸ τοῦ Ὑμηττοῦ· ἐπλεονέκτει δὲ ἡ Ἀττικὴ τότε τῶν ἄλλων Ἑλληνικῶν χωρῶν τά τε ἄλλα τῆς διανοίας προϊόντα τῶν ἀνδρῶν καὶ τῶν τῆς γῆς αὐτῆς.

§ 4. Ἐξετάζοντες τὴν ἀρχὴν αὐτὴν τῶν πεμμάτων, εὑρίσκομεν, ὅτι ταῦτα παλαίτατα παρήχθησεν κατ' ἀρχὰς ἀπὸ θρησκευτικῶν τελετῶν, καθ' ἃς προσεφέροντο τοῖς θεοῖς ἀπαρχαὶ τῶν τῆς γῆς καρπῶν καὶ ἄρτοι ἢ πλακοῦντες ἁγνὰ θύματα, ἱερὰ θυσία, ὅτε ἡ θυσία ζώων ἐνομίζετο ἀνόσιος καὶ οὐκ εὐπρόσδεκτος τοῖς θεοῖς. Ὡς τοιαῦτα δὲ τὰ πέμματα ἢ οἱ πλακοῦντες προσφερόμενα τοῖς θεοῖς διακρίνονται πάντοτε ὑπὸ τὰ ὀνόματα πέλανοι, πόπανα, καὶ ψαιστά, διαστελλόμενα οὕτω τῶν ὑπὸ ἀνθρώπων ἐσθιομένων πεμμάτων βραδύτερον, ὧνπερ ἄλλως καὶ κατὰ διάφορον τρόπον ἢ ἐπιμελέστερον καὶ ἁγνότερα ἐκεῖνα ἐσκευάζοντο. Οὕτω παρὰ Πλάτωνι Νόμ. 6, σ. 782

„θύματά τε οὐκ ἦν τοῖς θεοῖς ζῶα, πέλανοι δὲ καὶ μέλιτι καρποὶ δεδευμένοι καὶ τοιαῦτα ἁ γ ν ὰ θ ύ μ α τ α, ἔνθα λεξ. Τίμαιος ἑρμηνεύει τὸ πέλανοι = „πέμματα ἐκ παιπάλης καὶ ἐλαίου καὶ μέλιτος“· „θύουσι δὲ πελάνους Δήμητρος καὶ ἄλλας τινὰς καρπῶν ἀπαρχάς“, Δ. Ἁλ. 2, 74· ὁ δὲ Παυσ. 8, 2, 3: „πέμματα ἐπιχώρια ἐπὶ τοῦ βωμοῦ καθήγισαν, ἃ πελάνους καλοῦσιν ἔτι καὶ ἐς ἡμᾶς Ἀθηναῖοι“. **Καὶ παρὰ ποιηταῖς, ἐν Αἰσχ. Πέρσ.** 200:

„βωμὸν προσέστην ἀποτρόποισι δαίμοσι
θέλουσα θῦσαι πέλανον, ὧν τέλη τάδε“·

οὕτω καὶ παρ' Εὐριπ. „κ α λ λ ί φ λ ο γ α πέλανον“· διότι τὰ τοιαῦτα θύματα οἱ παλαιοὶ ἐπεθυμίων τοῖς θεοῖς, καίοντες ἐπὶ τῶν βωμῶν. Γενικώτερον δὲ δηλοῦται δι' αὐτοῦ ἡ σπονδή, ὡς: „χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός“, **Αἰσχ. Χοηφ.** 82, **καὶ ἐν Εὐμ.** 264:

„ἀλλ' ἀντιδοῦναι δεῖ σ' ἀπὸ ζῶντος ῥοφεῖν
ἐρυθρὸν ἐκ μελέων πέλανον“ . . .

ἔνθα ὁ πέλανος μεταφ. κεῖται ἀντὶ τοῦ α ἷ μ α. Καὶ περὶ ποπάνων δὲ θυσίας ἢ θ ε ρ α π ε ί α ς ὡσαύτως ἐν Πλάτ. Πολ. 5, 455, καὶ 5, 227, ἔνθα ὁ Σχολ. ἐξηγεῖται „πλακούντια πλατέα καὶ λεπτὰ καὶ περιφερῆ“ πόπανα· καὶ παρ' Ἀριστοφ. „πόπανα θύειν, πόπανα πέττεται“.

Τὰ δὲ ψαιστά (ψαίειν), geschroten Gerste, ἦσαν καὶ ταῦτα πόπανα, οὐκ ἀπὸ σίτου ἀλεύρων, ἀλλ' ἀπὸ ἐρεικτῶν κριθῶν, ἀλφίτων, ὡς καὶ τὸ ὄνομα ψ α ι σ τ ά δηλοῖ· „ἄλφιτα ἐλαίῳ καὶ οἴνῳ δεδευμένα, ἅπερ ἐπεθυμίων τοῖς θεοῖς“, Σουΐδ., κατὰ δὲ Bekk. An. p. 317, „πόπανα πλατέα μάλα τινά, στρογγύλα, ἀπὸ στέατος εἰς θυσίαν γιγνόμενα“· αἱ δὲ ψαισταὶ αὗται κριθαὶ παρ' Ὁμήρῳ δηλοῦνται διὰ τοῦ ο ὐ λ ό χ υ τ α ι, Ἰλ. Α, 449. Τὰ ψαιστά ἀπετέλουν εὐτελεστέραν, πτωχικὴν θυσίαν, ὡς ἀπὸ ἀλφίτων γινόμενα, καὶ διέφερον τῶν πελάνων καὶ ποπάνων, ὅσῳ τὰ ἄλευρα τῶν ἀλφίτων, καὶ ὁ ἄρτος τῆς μάζης.

Ἀξίαν σημειώσεως ἐνταῦθα κρίνομεν παρομοίαν τινὰ διάκρισιν, μεθ' ἧς τὰ νῦν ὁ Ἑλλην. λαός, ὡς οἱ παλαιοὶ διέκρινον ἐν τοῖς πέμμασι τὰς ἱερὰς προσφοράς, οὕτω δια-

κρίνει τοὺς ἄρτους τοὺς τῇ Ἐκκλησίᾳ διὰ τῶν ἱερέων πρὸς τὴν ἱερὰν καὶ ἀναίμακτον θυσίαν προσφερομένους, καλῶν τὰ ἁγνὰ ταῦτα θύματα πάντοτε *προσφοράς*, *πρόσφορα*, *λειτουργίας* (πρὸς θείαν λειτουργίαν ἁρμόδια), καὶ *ἄρτους* κατ᾽ ἐξοχὴν τοὺς προσφερομένους ἐπὶ τῇ μνήμῃ καὶ ἑορτῇ ἁγίου τινος, τοὺς δὲ κοινοὺς ἄρτους, τοὺς ἐσθιομένους ὑπὸ ἀνθρώπων, ὁ λαὸς ὀνομάζει πάντοτε *ψωμία*, ὧν αἱ προσφοραὶ ἢ λειτουργίαι πολὺ ὑπερτεροῦσι κατά τε τὴν ἁγνότητα καὶ τὴν ὅλην ἐπιμέλειαν, μεθ᾽ ἧς ἰδιαζόντως παρασκευάζονται ὑπὸ τῶν γυναικῶν· καὶ ἀνόσιον δ᾽ ἔτι νομίζεται, εἴ τις τοὺς τοιούτους ἄρτους μετὰ τὴν παρὰ τοῦ ἱερέως εὐλογίαν *ψωμία* ἐκάλει.

§ 5. Ἡ λέξις πέμμα, ἐκ τοῦ πέττειν, πέπτειν, ἕψειν, coquere, κυρίως δηλοῖ πᾶν ὅτι πέττεται καὶ τῷ πυρὶ ὀπτᾶται, quicquid coquitur· ἐν στενοτέρᾳ ὅμως σημασίᾳ λαμβανομένη ἡ λέξις σημαίνει ἰδίως τὸ ἀπὸ ἀλεύρων (σίτου) πεπεμμένον, καὶ ἡψημένον σιτίον, πλακοῦντα, das Backwerk, ὅπερ ἡδυνόμενον μετὰ μέλιτος καὶ τῶν προμνησθέντων ἄλλων ἀρτυμάτων, ἀπετέλει *μελίπηκτον*, Honigkuchen, ἥδυσμα, σιτίον ἡδυσμένον ποικίλον, λιτότερον καὶ ἁπλούστερον ἢ πολυτελέστερον, λαμβάνον καὶ διάφορα ὀνόματα ἀπό τε τοῦ τρόπου αὐτοῦ τῆς παρασκευῆς καὶ τοῦ σπουδαιοτέρου ἀρτύματος. Τοιαῦτα δὲ πέμματα καὶ μελίπηκτα ἡδύσματα, οὐδόλως συγχεόμενα πρὸς τὰ μνησθέντα ἁγνά, liba, εἰσὶ τὰ παρατιθέμενα κατωτέρω, ἔκ τε τῶν συνήθων καὶ τῶν μᾶλλον ἐσπουδασμένων ἐκλεγέντα, ὧν ἔνια καὶ μετὰ τῶν συνταγῶν αὐτῶν, ὅπως δειχθῇ καὶ ἡ περὶ αὐτὰ τὰ ἡδύσματα τέχνη τῶν ἀρχαίων.

Ἄμης ὁ ἀττικός, γαλακτώδης πλακοῦς, Σχολ. Ἀριστοφ. Πλ. 999, ἡ „ἔγχυτος πλακοῦς“, Μοῖρ., Ἀθήν. 6, 262· αὐτόθι 14, 644 καὶ οἱ *ἀμητίσκοι*. ὁ *πυραμοῦς* (ἐκ πυρῶν πεφρυγμένων) πλακοῦς μετὰ μέλιτος· τούτου μνημονεύει Ἰατροκλῆς ἐν *χοιρίναις* πλακοῦσι, περὶ ὧν Εὐσταθ. σ. 1753· „τοῦ γὰρ τεχνάζειν ἡμέτερος ὁ πυραμοῦς“, Ἀριστοφ. Θεσμ. 94, διότι τοῦτον ἐλάμβανε βραβεῖον ὁ ταῖς παννυχίσι διαγρυπνήσας. ἡ *πυραμίς*, Ἀθήν. ἐν Ἐφίππ. 14, 642, διαστελλομένη τοῦ πυραμοῦντος διὰ τοῦ „γίγνε-

σθαι γὰρ ταύτην ἐκ πυρῶν πεφωσμένων (φώζειν, φρύγειν) καὶ μέλιτι δεδευμένων", Ἀθήν. 14, 647. ὁ ἐ χ ῖ ν ο ς Ῥοδιακός, ὅμοιος τῷ ἀττικῷ ἄμητι, Ἀθήν. 14, 647. ὁ ἐ σ χ α ρ ί τ η ς „μεθόριος ἄρτου καὶ πλακοῦντος", Πολυδ. 6, 78. αἱ ἐ γ κ ρ ί δ ε ς πλακούντια ἢ ἥδυσμα ἐλαίῳ ἡψημένον καὶ μεμελιτωμένον, Ἀθήν. 14, 645, Σουΐδ. τὰ ἔ ν θ ρ υ π τ α, Δημοσθ. 8, 260, „ψωμοὶ οἴνῳ βεβρεγμένοι, οἷς ἐπιχεῖται καὶ φακῆ ἁπλῶς", Βεκκερ. Ἀνέκ. 250. ἡ ἐ ν θ ρ υ μ μ α τ ί ς, πλακοῦς ἢ ἄλλως θ ρ υ μ μ α τ ί ς, Ἀναξανδρ. παρ' Ἀθην. 4, 131, Ἡσύχ. ἡ θ ρ υ μ μ α τ ί ς, πλακοῦς, Πολυδ. 6, 77· „θρυμματίς, σκεύασμα διὰ στέατος καὶ σεμιδάλεος καὶ συκαλίδων", Φώτιος. ἦν δὲ τῇ θρυμματίδι καὶ κρηπίς τις ἐξ ἀλεύρου καὶ μέλιτος, ᾗ ἐνέκειντο καὶ συκαλίδες τινὲς ἢ ἀμπελίδες ὀπταί, ὧν βρωθεισῶν, τὴν κρηπίδα ζωμῷ ὀρνιθείῳ ἐνθρύψαντες ἤσθιον· ἐκαλεῖτο δὲ καὶ σ τ ε γ α σ τ ὴ θρυμματίς· συκαλίδες δὲ ἢ ἀμπελίδες εἰσὶ τὰ μικρὰ πτηνά, τὰ νῦν συκοφάγοι. ὁ κ ο τ υ λ ί σ κ ο ς πλακοῦς, Ἀθήν. 14, 647. ὁ κ ρ ι μ ν ί τ η ς, πλακοῦς, γινόμενος ἐκ κρίμνων, Ἀθήν. 14, 646, καὶ κ ρ ι μ ν α τ ί α ς ἄρτος ἢ πλακοῦς, Ἀρχέστρατ. παρ' Ἀθην. 3, 112. ὁ ν α σ τ ό ς, πλακοῦς λίαν πυκνὸς, στερεός, πλήρης καρυκειῶν, σταφίδων καὶ ἀμυγδάλων, ἅπερ τριφθέντα καὶ μιχθέντα ὀπτῶνται· ἔτι δὲ καὶ „ναστίσκοι πολύτυροι", Φερεκρ. ἐν Ἀθην. 6, 269· οἱ αὐτοί καὶ „σακτοί" ἐκ τοῦ σάττειν, νάσσειν, νῦν παραγεμίζειν, παραγεμισιός· „ἧκεν γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος", Ἀριστοφ. Πλ. 142. ὁ χ α ρ ί σ ι ο ς πλακοῦς, Ἀριτοφ. ὁ ν ά ν ο ς, Ἀθήν. 14, 646. τὰ ν ε ή λ α τ α, πλακοῦντες ἐκ νεωστὶ ἀληλεσμένων ἀλεύρων, ν ε η λ ά τ ω ν, Πολυδ. 6, 77· „μισθὸν λαμβάνων στρεπτοὺς (κολλύρας) καὶ νεήλατα", Δημοσθ. 18, 260. ὁ σ η σ α μ ο ῦ ς, πλακοῦς ἢ ἥδυσμα, ἔγχυτος, Ἀριστοφ. Ἀχ. 1057, καὶ „σησαμούντια πόπανα", Εἰρ. 834. ἡ σ ί λ β η, εἶδος πέμματος ἐκ κριθῆς, σησάμου καὶ μήκωνος, Ἡσύχ. ὁ σ τ α ι τ ί τ η ς, πλακοῦς τις ἐκ σταιτὸς μετὰ μέλιτος, Ἐπίχαρμ. ἐν Ἀθην. 3, 110. ὁ τ υ ρ ο ῦ ς, πλακοῦς τυρώδης, Ἀθήν. 15, 698. ὁ τ η γ α ν ί τ η ς ἢ τ η γ α ν ί α ς, πλακοῦς ἐπὶ τοῦ τηγάνου ἑψόμενος ἐν ἐλαίῳ, ᾧ ἐπεχεῖτο τυρός, μέλι, σήσαμα, Ἱππῶν. ἐν Ἀθην. 14, 645, Ἡσύχ. τὰ ἴ τ ρ ι α, πλακούντια λεπτά, ἐκ σησάμου καὶ μέ-

λιτος γινόμενα, Ἀθήν. 14, 646. χοῖροι οἱ ἀττικοί, πλακοῦντες ἢ ἴδρυσμα, Σολ. ἐν Ἀθην. 14, 645. ἡ μελιτοῦττα, ἴδρυσμα, ἐξ ἀλφίτων μετὰ μέλιτος γινόμενον, Ἀθήν. 4, 167. οἱ φυσίκιλλοι, παραπλήσιοι ἐγκρίδι ἀρτίσκοι δημοτικώτατα ἰδιαιτέραν ἐν Λακωνίᾳ χαίροντες, Ἀθήν. 4, 139· περὶ ὧν προβλ. καὶ Müller's griech. Privataltert. 442 c, 74.

Ὁ φθοῖς, πλακοῦς ἢ ἴδρυσμα, Ἀριστοφ. Πλ. 677· φθοΐσκος καὶ φθοίδιον, Πολυδ. 6, 77· „Ὁ φθοῖς οὕτω γίνεται· τυρὸν ἐκ πιέσας τρῖβε καὶ ἐμβαλὼν εἰς κόσκινον χάλκεον διήθει, εἶτ' ἐπίβαλε μέλι καὶ σιλίγνεως ἡμίναν καὶ συμμάλαξον εἰς ἕν". Χρυσιππ. ἐν Ἀθην. 14, 647. τὸ τυροκόσκινον, ἴδρυσμα· „Τὸ δὲ τυροκόσκινον οὕτω· τυρὸν ἐκπιέσας καλῶς, θὲς εἰς ἄγγος, εἶτ' ἄνω κοσκινον χαλκοῦν ἐπιθεὶς διάγε τὸν τυρον· ὅταν δὲ μέλλῃς προσφέρειν, βάλε μέλιτος αὐταρκες ἐπάνω". Ἀθήν. 14, 647. αἱ ὑποτυρίδες, πλακούντια· „Ὑποτυρίδες δὲ οὕτω γίνονται· εἰς γάλα βαλὼν μέλι ἐκπίεσον καὶ βάλε εἰς σκεῦος καὶ ἔα παγῆναι· ἐὰν δε σοι παρῇ κοσκίνια μικρά, ἐπίβαλε εἰς αὐτὰ τὸ σκεῦος καὶ ἔα ἐκρεῖν τὸν ὀρόν· καὶ ὅταν σοι δόξῃ πεπηγέναι, ἄρας τὸ σκεῦος μετάβαλε εἰς ἀργύρωμα, καὶ ἔσται ἡ ὄψις ἄνωθεν· ἐὰν δὲ μὴ ᾖ κοσκίνια, φλαβιλλίοις (flabellium, ῥιπίδιον) καινοῖς χρῶ, ἐν οἷς τὸ πῦρ ῥιπίζεται· τὴν γὰρ αὐτὴν ποιεῖ χρείαν", Ἀθήν. 14, 647. ὁ κοπτοπλακοῦς, παρὰ δὲ Κρησὶ γάστρις καὶ πλακούντηρον· „Ὁ δὲ κοπτοπλακοῦς οὕτω· κάρυα Θάσια καὶ Ποντικὰ *) καὶ

*) Ἐν τοῖς ποντικοῖς καρύοις περιλαμβάνονται πολλάκις τῷ ὀνόματι καὶ τὰ πόντικα λεπτοκάρυα καὶ τὰ π. κάστανα, ἅπερ καὶ Διὸς βάλανοι καὶ λόπιμα καὶ μότα καὶ Σαρδιαναὶ βάλανοι καὶ λευκῆναι ὀνομάζονται, Γαλην τ. 6, 778, Διοσκορ. 1, 145 καὶ ἐν 1, 179: „τὰ δὲ πόντικα, ἃ ἔνιοι λεπτοκάρυα καλοῦσι". Ἀθήν. 2, 53. „Ὅτι ποντικῶν καλουμένων καρύων, ἃ λόπιμά τινες ὀνομάζουσι, μνημονεύει Νίκανδρος (Κολοφώνιος, γραμματικὸς ὀνομαστὸς καὶ ἰατρός). Ἑρμῶναξ δὲ καὶ Τιμαχίδας ἐν Γλώσσαις Διὸς βάλανόν φησι καλεῖσθαι τὸ πόντικον κάρυον". Πλίνιος 15, 88: „In Asiam Graeciamque e Ponto venere ideoque Ponticae nuces vocantur". Ἐφημίζοντο τὰ Σινωπικὰ κάρυα καὶ κάστανα, περὶ ὧν Ἀμφίλοχος παρ' Ἀθην. 2, 54: „ὅπου δὲ γίνεται τὰ κάρυα τὰ Σινώ-

ἀμύγδαλα, ἔτι δὲ μήκωνα, ὃν φρύξας θεράπευσον καλῶς καὶ εἰς θυείαν (ἰγδίον) καθαρὰν τρῖψον ἐπιμελῶς· συμμίξας τε τὴν ὀπώραν μάξον μέλιτι ἡψημένῳ προσβαλὼν πέπερι πλέον καὶ μάλαξον· γίνεται δὲ μέλαν διὰ τὴν μήκωνα. διαπλατύνας ποίησον τετράγωνον. εἶτα σήσαμον λευκὸν τρίψας μάλαξον μέλιτι ἡψημένῳ, καὶ ἕλκυσον λαγάνια (λεπτὰ πλακούντια εὐρέα, ὡς φύλλα) δύο, καὶ ἓν θὲς ὑποκάτω, καὶ τὸ ἄλλο ἐπάνω, ἵνα τὸ μέλαν εἰς μέσον γένηται, εὐ ῥύθμισόν τε αὐτό", Ἀθήν. 14, 647. Πρὸς δὲ τούτοις συγχέονται ἔνιοι τῶν ἄρτων πρὸς τοὺς πλακοῦντας, οἷοι· ὁ ἀνωτέρω ἐσχαρίτης, „μεθόριος ἄρτου καὶ πλακοῦντος"· ὁ σησαμίτης καὶ σησαμοῦς, οἱ μηκωνῖται καὶ μηκωνίδες, ἀπὸ σπέρματος μήκωνος, ὁ κριμνατίας

πικά, ταῦτα δένδρα ἐκάλουν ἄμωτα", ἔνθα διὰ τοῦ ἄμωτα δηλοῦνται καστανέαι, καστάνεια, ὡς καὶ παρὰ Διοσκορ. 1, 145 μότα, κάστανα. Ὁ δὲ Στράβ. 12, 3, 12: „ἡ δὲ Σινωπῖτις καὶ σφένδαμνον ἔχει καὶ ὀροκάρυον, ἐξ ὧν τὰς τραπέζας τέμνουσιν".

Ἐν δὲ τῷ περισπουδάστῳ συγγράμματι V. Hehn's Kulturpflanzen und Hausthiere S. 319, ἀναγινώσκομεν περὶ τῶν καρύων ἢ τῶν Διὸς βαλάνων: Nüsse oder Eicheln, benannt nach Sardes in Lydien, nach einer Gegend am Idagebirge, nach Sinope und Heraklea (νῦν Πόντο-Ἡράκλεια), den beiden Hafenstädten am schwarzen Meere, und bezogen aus Paphlagonien, der Landschaft an demselben Meere. Ganz gewöhnlich ist aber auch die direkte Benennung Pontische Nüsse, meistens, aber nicht ausschliesslich, für eine grössere Art Haselnüsse gebraucht, so wie persische oder königliche, weil sie aus einer Gegend stammten, die den persischen Königen unterworfen war. Καὶ νῦν ταῦτα ἐν ἀφθονίᾳ παράγονται, μάλιστα κατὰ Πόντον, ὡς τὰ ἐκ Κερασοῦντος ὀνομαστὰ πόντικα λεπτοκάρυα καὶ τὰ ἐκ τῆς ἕδρας τῶν καστάνων, τῆς Καστανίδος πόλεως (νῦν Κασταμών, Καστάμπολις) νοτιοδυτικῶς τῆς Σινώπης κειμένης κάστανα· καὶ νῦν ταῦτα ἐν Ἀνατολῇ παρὰ πότον καὶ τράπεζάν εισιν ἀναθήματα δαιτός, ὡς „μολπή τ' ὀρχηστύς τε" ἐν τῇ Ὁμηρ. εὐωχίᾳ, καὶ συνᾴδονται: „Τὸ κάστανο θέλει κρασὶ καὶ τὸ καρύδι μέλι". Καὶ ὁ κωμικὸς ποιητὴς Ἕρμιππος ᾄδει ἐπίσης κάστανα καὶ ἀμύγδαλα παρ' Ἀθην. 1, 28:

„Τὰς δὲ Διὸς βαλάνους καὶ ἀμύγδαλα σιγαλόεντα
Παφλαγόνες παρέχουσι· τὰ γὰρ τ' ἀναθήματα δαιτός"·

καὶ ὁ κριμνίτης, ὡς ἀνωτέρω, ὁ αἶανος, „ἄρτος ἐγγύτερω πλακοῦντος“, Πολυδ. ϛ', 73, καὶ ἄλλοι. Παρατηρητέον δὲ ἐνταῦθα, ὅτι τῶν πλακούντων οἱ μὲν πρὸς ἄρτον πλησιέστεροι καὶ ἁπλούστεροι τὴν σκευασίαν ἠσθίοντο συνήθως ἀντὶ ἄρτων, οἱ δὲ πολυτελέστεροι καὶ λεπτότεροι ἢ τὰ μελιτηρὰ πέμματα, ἀπετέλουν μᾶλλον ἡδύσματα ἢ τραγήματα παρατιθέμενα ἐν ταῖς δευτέραις ἢ ἐπιδορπίαις λεγομέναις τραπέζαις μεταξὺ ἄλλων τραγημάτων καὶ λιχνευμάτων, ὡς ὀπωρικῶν, τυροῦ, ᾠῶν καὶ περιφορῶν (gustationes), bellaria, cupedia in secunda mensa.

Πρὸς τὰ ἀρχαῖα πέμματα ἢ τοὺς πλακοῦντας καὶ τὰ μελιτηρὰ (ἡδύσματα) ἀντιστοιχοῦσι τὰ νῦν ἐν τῇ συνηθείᾳ ζυμαρικὰ ἢ αἱ πῆτται· οὕτω πρὸς τὸν τυροῦντα ἡ νῦν τυρόπηττα, πρὸς τὸν σησαμοῦντα ἡ σησαμόπηττα, πρὸς τὴν μελιτοῦτταν ἡ μελόπηττα, ὡς καὶ λαχανόπηττα, κολοκυνθόπηττα, ὀρυζόπηττα (ἀρχ. ὀρυζίτης πλακοῦς), χονδρόπηττα, ἡ ἐκ χονδροτέρων ἀλεύρων χαλαμόπυρον, καὶ σφογγᾶτο, σπογγᾶτο, ὁ „σπογγίτης ἄρτος“, Ἡσυχ., κ. λπ. Περὶ δὲ τῆς λέξεως αὐτῆς πῆττα παρατηροῦμεν, ὅτι ἀπὸ τοῦ ἀρχαίου πηκτός, πηκτή-οὐσ. πήκτη (πήχτη)- πῆττα βεβαίως παραγομένη αὕτη, δηλοῖ πέμμα, πλακοῦντα, τὸ πηκτὸν (νῦν πηχτόν), στερεὸν πεπηγμένον· διότι πράγματι ὁ πλακοῦς πλάττεται ἀπὸ πηκτοτέρου, στερεωτέρου φυράματος ἢ ὁ ἄρτος.

§ 6. Ἐπανερχόμενοι ἐπὶ τὰ ἀρχαῖα πέμματα, παρατηροῦμεν ὅτι ταῦτα, ὡς ἔμπροσθεν εἴρηται, ἀπὸ ἁγνῶν καὶ ἱερῶν θυμάτων ἀρξάμενα, βραδύτερον κατέστησαν βρώματα τερπνὰ καὶ περίεργα, τραγήματα καὶ λιχνεύματα παντοδαπά, ὅτε ἡ περὶ τὴν τράπεζαν πολυτέλεια καὶ ἡ γαστριμαργία ἀντικατέστησαν τὴν παλαιὰν λιτότητα διαίτης καὶ ἐγκράτειαν γαστρός. Ὡς δὲ ἡ μαγειρικὴ καὶ ἡ ὀψοποιία ἢ ὀψαρτυτικὴ προήχθη ἐν ὑστέροις Ἑλλην. καὶ Ῥωμ. χρόνοις εἰς τέχνην, ἀπαιτοῦσαν, κατὰ τοὺς κωμικούς, γνώσεις ἀστρονομικάς, γεωμετρικάς, στρατηγικὰς καὶ λοιπά, καὶ ἔχουσαν συγγράμματα μαγειρικὰ καὶ ὀψαρτυτικά, οὕτω καὶ ἡ λεπτοτέρα ἀρτοποιία ἢ ἡ

πεμματοποιΐα, τὰ μὲν εἰς τοὺς κανόνας καθόλου τῆς Γαστρονομίας καὶ αὕτη ὑπαχθεῖσα, τὰ δὲ καὶ ἰδίας συγγραφὰς πεμματολογικὰς ἔχουσα ἤδη, ἀπαιτεῖ ἐπίσης μάθησιν θεωρητικὴν καὶ πρακτικὴν παρὰ τοῦ πεμματοποιοῦ ἢ τοῦ μαγείρου καὶ ὀψοποιοῦ, ὧν καὶ τὰ καθήκοντα διακρίνονται κυρίως ὑπὸ τῶν διαχλευαζόντων τὴν τῶν μαγείρων οἴησιν καὶ ὄγκον κωμικῶν οὕτω:

„στρατηγός πᾶς καλεῖθ' ὃς ἂν λάβῃ
δύναμιν, ὁ μέντοι δυνάμενος κἂν πράγμασιν
ἀναστραφῆναι καὶ διαβλέψαι τί που
στρατηγός ἐστιν, ἡγεμὼν δὲ θἄτερον.
οὕτως ἐφ' ἡμῶν σκευάσαι μὲν ἢ τεμεῖν
ἡδύσμαθ' ἑψῆσαί τε καὶ φυσᾶν τὸ πῦρ
ὁ τυχὼν δύναιτ' ἄν. ὀψοιποιὸς οὖν μόνον
ἐστὶν ὁ τοιοῦτος, ὁ δὲ μάγειρος ἄλλο τι.
συνιδεῖν τόπον, ὥραν, τὸν καλοῦντα, τὸν πάλιν
δειπνοῦντα, πότε δεῖ καὶ τίν' ἰχθὺν ἀγοράσαι.
. . . .
οὐδ' ἔστιν εἰπεῖν περὶ μαγειρικῆς, ἐπεὶ
εἶπ' ἀρτίως . . .
ὅρον γὰρ οὐκ ἔσχηκεν, οὐδ' ὁ κύριος,
αὐτὴ δ' ἑαυτῆς ἐστι δεσπότης . . . .

Διον. κωμ. ἐν. Ἀθήν. 9, 405, *ἔνθα ὁ μὲν μάγειρος παρίσταται ὡς ὁ ἡγεμὼν τοῦ στρατηγοῦ ἀνώτερος τοῦ ὀψοποιοῦ, εἰ καὶ γενικώτερον εὑρίσκονται ταῦτα συνώνυμα, ὡς ἐν Πλάτ. Πολ.* 2, 372, *ἡ δὲ μαγειρικὴ ὡς τέχνη ἐλευθέρα, ὅρια οὐκ ἔχουσα, ἀπέραντος, δεσπότης ἑαυτῆς, ὡς καὶ παρὰ Δημητρ. κωμ. αὐτόθι:*

„καπνιζομένη τυραννὶς αὕτη 'σθ' ἡ τέχνη“.

§ 7. *Περιφημότεροι δὲ συγγραφεῖς καὶ συγγράμματα τῆς τοιαύτης φιλολογίας καὶ καλλιτεχνίας τῆς Μαγειρικῆς, ἣν οἱ κωμικοὶ σκωπτικώτατα ἐγκωμιάζοντες καταλέγουσι καὶ πολλῶν ἀοιδίμων ὀψαρτυτῶν τὰ ὀνόματα, ἦσαν ὁ Γελῷος ἢ Συρακόσιος Ἀρχέστρατος ὁ ὀψοδαίδαλος γράψας Γαστρονομίαν, Ἡδυπάθειαν ἢ Δειπνολογίαν ἢ Ὀψοποιΐαν, ποίημα ἐπικόν, οὗ ἡ ἀρχὴ ἔχει οὕτως ἐν Ἀθην.* 1, 4:

„Ἱστορίης ἐπίδειγμα ποιούμενος Ἑλλάδι πάσῃ“.

Ὑπὸ τοῦ Ῥοδίου Παρμένωνος ἐγράφη μαγειρικὴ διδασκαλία, Ἀθήν. 7, 308· *ὑπὸ Λυγκέως τοῦ Σαμίου, γνωρίμου τοῦ Θεοφράστου, δειπνητικαὶ ἐπιστολαί,* Ἀθήν. 4, 128· *Ὀψαρτυτικά, ἤτοι θεωρίαι περὶ μαγειρικῆς τέχνης, παρ' Ἀθην.* 14, 681, *ὧν συγγραφεῖς Ἡρακλείδης τε καὶ Γλαῦκος ὁ Λοκρός· μνημονεύονται δὲ καὶ Γλῶσσαι ὀψαρτυτικαί, αὐτόθι* 9, 387, *καὶ βρώματα μουσικά, ἤτοι ἁρμονικῶς, ἐντέχνως παρεσκευασμένα, αὐτόθι* 3, 190 *παρὰ κωμ. Διωξίππῳ ἐν Ἀντιπορνοβοσκῷ οὕτω:*

„οἵων ἐπιθυμεῖ βρωμάτων, ὡς μουσικῶν·
ἤνυστρα μήτρας χόλικας“.

Πλακουντοποιϊκὰ δὲ συγγράμματα ἀναγράφονται πλὴν τῶν τοῦ Αἰγίμου καὶ Ἡγησίππου καὶ Μητροβίου καὶ Φαίστου (*ἐν Ἀθην.* 14, 643) *καὶ τὸ τοῦ σοφοῦ πεμματολόγου τοῦ ἐκ Τυάνων τῆς Καππαδοκίας Χρυσίππου, Ἀρτοκοπικόν, Ἐγχειρίδιον περὶ τῆς λεπτοτέρας ἀρτοποιΐας ἢ Πεμματολογία,* Ἀθήν. 14, 648· *περὶ ὧν παρβλ. καὶ* Iw. Müller's griechisch. Privataltertümer, 444 d, § 80. *Ὁ δὲ ἐπὶ Νέρωνος στωϊκὸς φιλόσοφος Μουσώνιος κακίζων τὰ τοιαῦτα Ἀρχεστράτεια συγγράμματα ὡς αὐξάνοντα τὴν ἡδυπάθειαν καὶ διαφθείροντα τὴν ὑγίειαν, δικαίως ἀφίησι φωνὴν ἀγανακτήσεως παρὰ Στοβαίῳ λέγων· „Εἰς τοῦτο προεληλύθαμεν λιχνείας καὶ ὀψοφαγίας, ὥστε καθάπερ μουσικὰ καὶ ἰατρικά, οὕτω καὶ μαγειρικὰ πεποίηνταί τινες συγγράμματα, ἃ τὴν μὲν ἡδονὴν καὶ πάνυ αὔξει τὴν ἐν τῷ φάρυγγι, τὴν δ' ὑγίειαν διαφθείρει“.*

Αἱ κατὰ τὰ ἄλλα ἀριστουργήματα ὑπερέχουσαι κλειναὶ Ἀθῆναι οὐδὲ κατὰ τὸ εἶδος τοῦτο τῆς μαγειρικῆς φιλολογίας καὶ καλλιτεχνίας ὑστέρουν· „ἄρτον αἱ κλειναὶ παρέχουσι κάλλιστον βροτοῖς Ἀθῆναι“ κατ' Ἀρχέστρατον τὸν Γαστρονόμον, πέμματα ἀττικὰ ἐξαίρετα καὶ δεῖπνα ὄζοντα αὔρας ἀττικῆς· αἱ Ἑλληνίδες πόλεις Συρακοῦσαι καὶ Σύβαρις, ἡ Ῥόδος, Χίος, Σάμος περιφημόταται ἀνεδείχθησαν κατὰ ταῦτα καὶ ὅλη ἡ Ἰωνία ἐπὶ τρυφῇ βίου ἐπισκώπτεται ὡς τρυφερὰ καὶ καλλιτράπεζος, Ἀθήν. 12, 524. *Παροιμιώδης ἰδίως ἦν ἡ περὶ τὴν τράπεζαν πολυτέλεια τῆς Σικελίας καὶ μάλιστα ἡ τρυφὴ καὶ λιχνεία τῆς Συβάρεως· Σικε-*

λικαὶ τράπεζαι ἦσαν συνώνυμοι τῷ πολυτελεῖς ὡς καὶ μάγειρος Σικελικὸς, ἔξοχος τεχνίτης, καὶ Συβαριτικαὶ ἰδίως τράπεζαι ἐλέγοντο παροιμιωδῶς ἐπὶ ἡδυπαθοῦς καὶ ἀσώτου διαίτης, ὡς καὶ συβαριτικῶς ζῆν καὶ συβαρίζειν συνώνυμα ἦσαν τῷ τρυφᾶν, καὶ Συβαρῖται = τρυφηταί, γαστρίμαργοι, κοιλιόδουλοι· ἡ δὲ Συρακουσία τράπεζα ἁμιλλᾶται τῇ Συβαριτικῇ. Ἀλλὰ διαβόητος ἐπὶ πολυτελείᾳ τε ἄλλῃ καὶ τῇ τῶν πλακούντων αὐτῆς ἦν ἡ Σάμος· „ὅτι δὲ οἱ Σάμιοι διαφέροντές εἰσι πλακοῦντες Σώπατρος ὁ φλυακογράφος φησὶν ἐν Βακχίδος μνηστῆρσι:

„πλακουντοποιὸν ὠνομασμένην Σάμον“,

Ἀθήν. 14, 644· ὁ δὲ Πλούταρχος συμμαρτυρῶν τῷ ποιητῇ λέγει μὲν ὅτι οἱ Σάμιοι πλακοῦντες ἦσαν διαβόητοι, πρᾶγμα πολυτελὲς καὶ σπάνιον ὡς χιὼν ἐν Αἰγύπτῳ, ἀλλὰ καὶ παραγγέλλει ἅμα: „Φυλακτέον τῆς περὶ τὰ τοιαῦτα (βρώματα) φιληδονίας καὶ γαστριμαργίας . . . καὶ γὰρ αὗται πολλάκις συναναπείθουσι μὴ πεινῶντας ἐσθίειν ἔνια καὶ πίνειν μὴ διψῶντας, ἀνελευθέρυυς κομιδῇ καὶ φορτικὰς ὑποβάλλουσαι φαντασίας, ὡς ἄτοπόν ἐστι πράγματος σπανίου καὶ πολυτελοῦς μὴ ἀπολαῦσαι παρόντος, οἷον οὔθατος ἢ μυκήτων Ἰταλικῶν ἢ Σαμίου πλακοῦντος ἢ χιόνος ἐν Αἰγύπτῳ“, Πλ. Ἠθ. Παραγγλ. 124.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΜΕΡΟΥΣ.

Τὰ παροράματα ἐν τέλει τοῦ δευτέρου μέρους, βραδύτερον ἐκδοθησομένου.